Ν. 210
Patl
Φ. 265 Νο 29
Α 945

ΣΥΛΛΟΓΗ

ΤΩΝ

ΑΣΜΑΤΙΚΩΝ ΑΚΟΛΟΥΘΙΩΝ

ΚΑΙ ΤΩΝ ΣΥΝΑΞΑΡΙΩΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ

ΤΗΣ ΚΥΠΡΟΥ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΠΡΟΣΤΑΤΟΥ ΚΑΙ ΠΑΤΡΩΝΟΣ ΚΕΡΚΥΡΑΣ

ΜΕΤΑ ΠΡΟΛΕΓΟΜΕΝΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ Κ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΚΑΘΗΓΗΤΟΥ

ΣΥΛΛΟΓΗ ΝΙΚΟΛΑΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Η ΗΠΕΙΡΟΣ

ΤΟΥ ΕΚΔΟΤΟΥ

ΣΕΡΓΙΟΥ Χ. ΡΑΦΤΑΝΗ

ΑΩΠΓ

1983



ΤΟ ΛΕΙΨΑΝΟΝ ΤΟΥ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ

ΠΕΝΤΑΠΟΛΙΤΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΨΑΛΤΩΝ ΑΝΤΩΡΕΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΣΥΛΛΟΓΗ

ΤΩΝ

ΑΣΜΑΤΙΚΩΝ ΑΚΟΛΟΥΘΙΩΝ

ΚΑΙ ΤΩΝ ΣΥΝΑΞΑΡΙΩΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ

ΤΗΣ ΚΥΠΡΟΥ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΠΡΟΣΤΑΤΟΥ ΚΑΙ ΠΑΤΡΩΝΟΣ ΚΕΡΚΥΡΑΣ

ΜΕΤΑ ΠΡΟΛΕΓΟΜΕΝΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ Κ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΚΑΘΗΓΗΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Η ΗΠΕΙΡΟΣ

ΤΟΥ ΕΚΔΟΤΟΥ

ΣΕΡΓΙΟΥ Χ. ΡΑΦΤΑΝΗ

ΑΩΠΓ

ΤΑΙΣ

ΜΑΚΑΡΙΑΙΣ ΨΥΧΑΙΣ

ΤΟΥ

ΘΕΟΛΟΓΙΚΩΤΑΤΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΣΠΥΡΙΔΩΝΟΣ ΣΚΟΥΡΤΑ

ΚΑΙ ΤΟΥ ΙΕΡΟΛΟΓΙΩΤΑΤΟΥ

ΣΠΥΡΙΔΩΝΟΣ ΝΤΕΛΕΤΗ

ΕΝΟΡΙΤΩΝ ΚΑΙ ΕΦΗΜΕΡΙΩΝ

ΤΟΥ ΕΝ ΖΑΚΥΝΘΩι ΙΕΡΟΥ ΝΑΟΥ

ΤΟΥ

ΑΓΙΟΥ ΑΝΤΩΝΙΟΥ

ΤΟΥ ΑΝΔΡΙΤΣΗ

ΑΦΙΕΡΟΙ

Ο ΕΚΔΟΤΗΣ

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἰς τὸ ὑπερφυὲς λείψανον τοῦ θαυματουργικωτάτου

ΣΠΥΡΙΔΩΝΟΣ

Τὸ παρὰ τῇ τῶν Κερκυραίων Μητροπόλει.

Ἐ π ί γ ρ α μ μ α.

Καὶ ζῇς ἐν μακάρεσι; καὶ οὐ βαρὺν ὕπνον ἰαύεις,
Ἀλλὰ φέρεις μορφὴν ἀρτιθανοὺς Σπυρίδων.
Ἄσσα δέ σοι φθιμένῳ σταυρόγραφα ῥήγεα θῆκαν
Λάτριες, εὐθρύπτου σητὸς ἄμοιρα πέλει.
Καὶ λιπαρὴν Κέρκυραν ἔχεις, καὶ θαύματα πρήσσεις
Λάτρι φίλε Χριστοῦ, λάτρι φίλε Τριάδος.

Ματθαῖος Καρυόφυλλος Ἐπίσκοπος Ἰκονίου.

—

Ἕτερον.

Κύπρος σε Σπυρίδων ἱερώτατε θρέψατο πρώην,
Ἀλλά γε Κερκύρα Σῶμα Τεὸν κατέχει.
Ζῶντά σε κεῖνη θερκομένη σφόδρα τέρπετο πᾶσα,
Αὖτη κἂν θνητὸν πλὴν κατατέρπεθ' ὅλη.

Χριστ/δ. Βούλγαρις Πρεσβύτ. Κερκ.

ΕΜΠΕΡΙΕΧΟΜΕΝΑ

Ἐπιγράμματα . . . . . δ.
Μαρτυρίαι ἐκ τῆς Θείας Γραφῆς . . . . . ε.
Προλεγόμενα ὑπὸ Σ. Κ. Παπαγεωργίου . . . . . ζ.
Ἀσματικὴ Ἀκολουθία ὑπὸ Νικολάου Βουλγάρεως . . . . . 1.
Βίος Πολιτεία καὶ ἀγῶνες ὑπὸ Συμεῶνος τοῦ Μεταφραστοῦ Ἑλληνιστί. 35
Συναξάριον 64
Ἐγκώμια εἰς τὸν Ἅγιον καὶ θαυματουργὸν Σπυρίδωνα. 82
Ἀνάμνησις τοῦ κατ' Ἀγαρηνῶν ἐν Κερκύρᾳ θαύματος. 93
Συναξάριον τοῦ θαύματος 109
Μνήμη τοῦ γεγονότος θαύματος περὶ τῆς τοῦ τυφλοῦ ὁμματώσεως ὑπὸ τοῦ ἀρχ. Κ. Τυπάλδου 112
Οὐρανοῦ Κρίσις ὑπὸ Ἀθανασίου Παρίου 113
Ἀκολουθία ὑμνητήριος διὰ τὴν οὐρανοῦ Κρίσιν 129
Κανὼν παρακλητικὸς ὑπὸ τοῦ Ἀρχιερέως Κωνστ. Τυπάλδου. . . . 156
Οἶκοι εἰς τὸν νεκροζῶντα ἐν Κερκύρᾳ Σπυρίδωνα 189
Βίος πολιτεία καὶ ἀγῶνες ὑπὸ Συμεῶνος τοῦ Μεταφραστοῦ, ἐν τῇ νεοελληνικῇ 199
Ἐπόμενον Συναξάριον νέον. 228
Κανὼν παρακλητικὸς, ὑπὸ Σεραφεὶμ Ἐπισκόπου Ἀργυρουπόλεως. . 239
. 247
Παρορράματα 245
Εὐχὴ εἰς τὸν ἅγ. Σπυρίδωνα ἐκ τῆς Ἱερᾶς Συνάξεως 245

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΠΥΡΟΣ

ΜΑΡΤΥΡΙΑΙ
ΕΚ ΤΗΣ
ΘΕΙΑΣ ΓΡΑΦΗΣ.

» Οἱ (Ἅγιοι Πάντες) διὰ πίστεως κατηγωνίσαντο Βασιλείας· εἰρ-
» γάσαντο δικαιοσύνην· ἐπέτυχον ἐπαγγελιῶν· ἔφραξαν στόματα λε-
» όντων· ἔσβεσαν δύναμιν πυρός· ἔφυγον στόματα μαχαίρας· ἐνεδυνα-
» μώθησαν ἀπὸ ἀσθενείας· ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ· παρεμβολὰς
» ἔκλιναν ἀλλοτρίων . . . . . Ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξά-
» μενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. Ἕ-
» τεροι δὲ, ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν
» καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπροίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μα-
» χαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑ-
» στερούμενοι, θλιβόμενοι, κακουχούμενοι, (ὧν οὐκ ἦν ἄξιος ὁ Κόσμος)·
» ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς
» τῆς γῆς.» (Ἑβρ. ιά. 33).

«Συναγάγετε αὐτῷ τοὺς Ὁσίους αὐτοῦ
)Ψαλ. μθ΄. 6).
«Ἆρον κύκλῳ (Σιών) τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ
τέκνα σου. (Ἡσα. ξ΄. 4).
«Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων.
(Ψαλ. πή. 8).
«Ἅγιοι ἔσεσθε, ὅτι Ἅγιός εἰμι ἐγὼ Κύριος.
(Λευϊτ. ιά. 14).

» Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους, καὶ τοὺς Πατέρας ἡμῶν τῇ γε-
» νέσει . . . . . Ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει βουλεύσονται ἐν συνέ-
« σει αὐτῶν· ἀπαγγελκότες ἐν Προφητείαις. Ἡγούμενοι λαοῦ ἐν δια-
» βουλίοις, καὶ συνέσει γραμματείας λαοῦ . . . διηγούμενοι ἔπη ἐν Γραφῇ.
Ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύϊ, εἰρηνεύοντες ἐν παροικίαις αὐ-
τῶν. Πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν, καὶ ἐν ταῖς ἡμέραις αὐτῶν
» καύχημα . . . . . Οὗτοι ἄνδρες ἐλέους, ὧν αἱ δικαιοσύναι οὐκ ἐπελή-
» σθησαν . . . καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται (Σειρὰχ μδ΄. 1).

ΚΑΝΩΝ ΝΔ΄.

τῆς ἐν Καρθαγένῃ ἁγ. Συνόδου.

»Ἐξέστω ἔτι μὴν ἀναγινώσκεσθαι τὰ πάθη τῶν Μαρτύρων (ἤτοι
» τὰ περὶ τῶν παθῶν καὶ μαρτυρίων αὐτῶν διαλαμβάνοντα βιβλία)
» ἡνίκα αἱ ἐτήσιοι αὐτῶν ἡμέραι ἐπιτελοῦνται».

ΠΡΟΛΕΓΟΜΕΝΑ

Καίτοι ἡ τύπωσις τῆς παρούσης βίβλου πλησιάζει ἤδη εἰς τὸ τέρμα, οὐχ ἧττον εἰς φιλικὴν αἴτησιν τοῦ Ἐκδότου ὑπείκοντες συνετάξαμεν τὸν παρόντα πρόλογον.

Τῶν ἁσματικῶν τοῦ ἁγίου Σπυρίδωνος Ἀκολουθιῶν ἐννέα μέχρι τοῦδε ἐγένοντο ἐκδόσεις, ἡ δὲ παροῦσα εἶναι ἡ δεκάτη. Ἡ πρώτη ἐγένετο τῷ 1674 ἐν Ἐνετίᾳ παρ' Ἀνδρέᾳ τῷ Ἰουλιανῷ, συνεκδοθεισῶν τῶν Ἀκολουθιῶν τῶν ἁγίων Ἰάσωνος καὶ Σωσιπάτρου τῶν Ἀποστόλων καὶ Ἀρσενίου Ἀρχιεπισκόπου Κερκύρας. Εἶναι δὲ ἡ ἐπὶ τῇ μνήμῃ αὐτοῦ ἁσματικὴ Ἀκολουθία τοῦ ἁγ. Σπυρίδωνος ποίημα Νικολάου τοῦ Βουλγάρεως ἰατροφιλοσόφου Κερκυραίου, γνωστοῦ ἰδίως ἐκ τῆς λαμπρᾶς αὐτοῦ *Κατηχήσεως ἢ Ἐξηγήσεως τῆς θ. καὶ ἰ. Λειτουργία* ' ὡς ἐξάγεται ἐκ τῆς προσφωνητικῆς Ἐπιστολῆς τοῦ ἱερέως Χριστοδούλου Βουλγάρεως πρὸς Ἀμβρόσιον Γραδενίγον, πρώην Κυδωνίας Πρωτοπαπᾶν, τότε δὲ Καθηγούμενον Κερκύρας, ἱεροκήρυκα καὶ τῆς τῶν Ἐνετῶν Ἀριστοκρατίας Βιβλιοφύλακα, ἀρχομένης ὧδε : «Τὴν τοῦ μεγάλου Σπυρίδωνος τοῦ πολυθρυλλήτου τῶν Κερκυραίων προστάτου Ἀκολουθίαν, οὐδενὶ μᾶλλον εἰκότως ἀναθετέον αὐτὴν ἡγησάμην, εἰμή σοι, λογιώτατε καὶ σοφότατε· οὐ μόνον ὡς πολὺν ἤδη χρόνον ταύτην ἐκδοῦναι θείῳ γε ζήλῳ ἐπιποθήσαντι καὶ ἀναλώμασι τῆς σαυτοῦ, ἀλλὰ *συλλεχθεῖσαν* ἤδη καὶ *συντεθεῖσαν* εἰδὼς ταύτην ὡς τὰ πολλὰ διὰ Νικολάου τοῦ παρ' ἡμῶν φιλοσοφίας τε καὶ ἰατρικῆς διδασκάλου ἐμοῦ ἀδελφοῦ προσφιλοῦς κ.τ.λ.» Αἱ φράσεις *συλλεχθεῖσαν* καὶ *ὡς τὰ πολλὰ* δηλοῦσιν ὅτι ὑπῆρχε βεβαίως καὶ ἀρχαιοτέρα ἁσματικὴ Ἀκολουθία, σύντομος, εἰς τὸν Ἅγιον· τοῦτο ἄλλως εἶναι εὐνόητον, ἀφοῦ ὁ Σπυρίδων τυγχάνει ἀρχαῖος τῆς Ἐκκλησίας Ἅγιος, μαρτυροῦσι δὲ καὶ τὰ ἐν τῷ Μηναίῳ ἄσματα, προφανῶς ἀρχαιότατα. Ἡ δευτέρα ἔκδοσις ἐξῆλθεν ἐν Ἐνετίᾳ τύποις Νικολάου τοῦ Σάρου τῷ 1717 ἐπιμελείᾳ καὶ ἀναλώμασι Πέτρου τοῦ Κασιμάτη, ἰατροφιλοσόφου Κερκυραίου, ἀφιερωθεῖσα τῇ Συγκλήτῳ καὶ Πολιτείᾳ τῆς Κερκύρας καὶ τῷ Μ. Πρωτοπαπᾷ αὐτῆς Σπυρίδωνι τῷ Βουλγάρει. Εἰς τὴν 6΄. ταύτην ἔκδοσιν προσετέθησαν τὰ *Ἐγκώμια* (ἔργον πιθανῶς τοῦ αὐτοῦ Κασιμάτη,) καὶ τὰ μεταγενέστερα θαύματα. Τρίτη Ἔκδοσις εἶναι ἡ ἐπίσης ἐν Ἐνετίᾳ τῷ 1764 παρὰ τῷ Ἀντωνίῳ Βόρτωλι γενομένη, ἧς ἐν τέλει προσετέθη

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΕΠΙΤΟΡΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

πρώτην ταύτην φοράν, καὶ ἡ Ἀκολουθία τοῦ κατὰ τῶν Ἀγαρηνῶν θαύματος. 1). Τετάρτη εἶναι ἡ ἐν Ἐνετίᾳ ἔτει 1807 ἐν τῷ τυπογραφείῳ Νικολάου τοῦ Γλυκέως γενομένη. Ἡ πέμπτη Ἔκδοσις ἐγένετο ἔτει 1813 ἐν Ἐνετίᾳ τύποις τοῦ αὐτοῦ Γλυκέως. Ἡ Ἕκτη Ἔκδοσις, γενομένη τῷ 1847 εἶναι ἡ πρώτη ἐν Κερκύρᾳ τυπωθεῖσα ἐν τῷ Τυπογραφείῳ τῆς Ἰονίου Κυβερνήσεως ἐγκρίσει τοῦ Τοποτηρητοῦ Κερκύρας (—τοῦ Μητροπολιτικοῦ θρόνου χηρεύοντος—) Πρωτοσυγγέλου Ἀθανασίου Πολίτη, τοῦ μετὰ ταῦτα ἀοιδίμου Μητροπολίτου. Ὁ Ἐκδότης Ἰωάννης Τζεϊμπέντης ἀφιέρου αὐτὴν τῷ *Κλήρῳ καὶ τῷ Λαῷ τῆς τῶν Ὀρθοδόξων Ἐκκλησίας*. Ἐσφαλμένως ὁ Τζεϊπέντης τὴν *ἕκτην* ταύτην Ἔκδοσιν λέγει *Τετάρτην* καὶ τὴν ἐν ἔτει 1813 *Τρίτην*, ἀγνοῶν τὰς δύο μεσολαβούσας ἐκδόσεις τοῦ 1764 καὶ 1807. Ἡ Ἔκδοσις αὕτη δὲν εἶναι ἁπλῆ τῶν προηγουμένων μετατύπωσις, ὡς ἐν τῷ προλόγῳ δικαίως σεμνυνόμενος ὁ Ἐκδότης λέγει· διότι προσετέθησαν οἱ εἰς τὸν Ἅγιον 24 Οἶκοι, συντεθέντες μὲν ὑπὸ ἀνωνύμου, τυπωθέντες δὲ τὸ πρῶτον ἰδιαιτέρως ἐν Ἐνετίᾳ παρὰ τῷ Ν. Σάρῳ τῷ 1717 καὶ προσφωνηθέντες Φραγκίσκῳ τῷ Μάστρακᾳ, Ἄρχοντι Κερκυραίῳ· ἐπίσης προσετέθη ὁ τέως ἀνέκδοτος βίος τοῦ ἁγ. Σπυρίδωνος, ὃν συνέγραψε τὴν δεκάτην ἑκατοντατετηρίδα Συμεὼν ὁ Μεταφραστής· οὗτος ἀντεγράφη παρὰ τοῦ Α. Μουστοξύδου ἐκ τοῦ 354 Κώδηκος, τάξεως 8ης. τῆς ἐν Ἐνετίᾳ Μαρκιανῆς Βιβλιοθήκης. Ἐπίσης προσετέθησαν ἄλλα μεταγενέστερα θαύματα τοῦ Ἁγίου καὶ Παρακλητικὸς Κανών, ἔργον τοῦ ἀοιδίμου Κωνστ. Τυπάλδου, κατόπιν ἐπισκόπου Σταυρουπόλεως, ὅστις εἶχεν ἤδη δημοσιευθῇ ἐν Κερκύρᾳ ἰδιαιτέρως τῷ 1827 παρὰ τῇ Τυπογραφίᾳ τῆς Κυβερνήσεως· συνάμα δὲ καὶ Δοξαστικὰ ἰδιόμελα τοῦ ἰδίου, τὰ τὴν 13 Ἰουλίου ψαλλόμενα ἐπὶ τῇ μνήμῃ τῆς τοῦ τυφλοῦ ὁμματώσεως· ἐν τέλει ἑρμηνεία εἰς ἁπλοελληνικὴν διάλεκτον τοῦ ἀρχαΐζοντος βίου τοῦ Μεταφραστοῦ. Ἑβδόμη ἔκδοσις εἶναι ἡ ἐν Βενετίᾳ τύποις Φοίνικος 1861 Ἡ Ὀγδόη ἔκδοσις ἐγένετο ἐν Κερκύρᾳ τῷ 1872 ἐν τῇ Τυπογραφίᾳ ὁ *Κοραῆς* ἀφιερωθεῖσα τῷ πρώην ἀρχιεπισκόπῳ Ἀντωνίῳ Χαριάτῃ. Ἐν τῷ Προλόγῳ αὐτῆς διορθοῦται μὲν τὸ ἐν τῇ ς΄. ἐκδόσει τοῦ Τζεϊμπέντη λάθος, καθ' ὃ, ὡς εἴπομεν, ἡ τοῦ 1813 Ε΄. ἔκδοσις λέγεται Γ΄. καὶ ἐνταῦθα ὅμως οἱ Ἐκδόται ὑπέπεσον εἰς ἕτερον λάθος, διότι ἀγνοοῦντες τὴν τοῦ

1) Αὕτη συνετάχθη παρὰ τοῦ Ἱερέως Ἀνδρέου Μαρίνη, ὡς δηλοῦται ἐκ τῆς πρώτης αὐτῆς ἐκδόσεως, γενομένης ἰδιαιτέρως ἐν Ἐνετίᾳ παρὰ τῷ Ν. Σάρῳ ἔτει 1718, δύο ἔτη μετὰ τὸ ἐκτεθέμενον θαῦμα. Ἀφιερῶν αὐτὴν ὁ Μαρίνης τῷ Ἐκλαμπροτάτῳ Κυρίῳ Ἰωάννῃ Ροδοστάμῳ ἄρχοντι ἀξιωτάτῳ, τῷ Κερκυραίῳ, γράφει αὐτῷ τὸν τοῖς ἄλλοις: «Αὐτὸς δὲ οὐ ἀμελήτας ἄγειν εἰς φῶς τὸ θαυμάσιον, ἐπὶ Σὲ ἀρσιώτατα τὸ ἐπιμελὲς πάντες ἐσχ ἤμαρτον, ἀρετικῆς σεμνυνόμενον ἄνδρα. . . . Μεγαλοπρεποῦς δὲ ὄντος τοῦ θαύματος, οὐκ ὑπρεπὲς εἰ καὶ ἐν μικρᾷ Ἀκολουθίᾳ συνάψαι ἐλογιτάμην. Οὐ πάντα ἐν τῷ ποιήματι τὰ τοῦ Ἁγίου ἐνάγῳ θαυμάσια, ἀδύνατον γὰρ τοὺς πατέρας καταριθμῆσαι κ.τ.λ.» Δευτέρα, ἐπίσης χωριστή, ἔκδοσις ἐγένετο τῷ 1755 ἐν Ἐνετίᾳ παρὰ τῷ Α. Βέρτολι. Τὸ τρίτον ἀνελημπτεύθη ἡ Ἀκολουθία ἐν τῇ ἄνω ῥηθείσῃ ἐκδόσει τῶν Ἀκολουθιῶν τοῦ ἔτους 1764, μεθ' ὧν συνεξεδόθη κατόπιν πάντοτε ἐν ταῖς λοιπαῖς ἐκδόσεσιν, ὡς ῥηθήσεται.

1807 ἔκδοσιν, ἐκείνην τὴν τοῦ 1813 ἔκδοσιν λέγουσι Δ΄. ἐνῶ εἶναι Ε΄. Ἐκ τῆς ὀγδόης ταύτης ἐκδόσεως ἀφῃρέθη ἀτόπως ὁ ὑπὸ τοῦ Τζεϊμπέντη τῷ 1847 προστεθεὶς ἀρχαΐζων Βίος ὁ συνταχθεὶς ὑπὸ Συμεῶνος τοῦ Μεταφραστοῦ. Ὁ λόγος, ὅστις φέρεται τῆς ἀπαλείψεως ταύτης, ὅτι δῆλα δὴ τὸ Συναξάριον τοῦτο «ἀπέβαινε *πλεονασμὸς*, ἐπειδὴ δὲν ἀναγινώσκεται ἐπ' Ἐκκλησίας» εἶναι ἀνεπαρκὴς, διότι αἱ Ἀσματικαὶ Ἀκολουθίαι καὶ τὰ Συναξάρια, καὶ μάλιστα τοιαῦτα οἷα τὰ εἰς τὸν ἁγ. Σπυρίδωνα, πλὴν τῆς ἱεροτελεστικῆς χρήσεως ἔχουσι καὶ γραμματολογικὴν ἀξίαν 1). Μὴ ἀναδημοσιευόμενος ὁ τοῦ Συμεὼν Βίος ἤθελε σὺν τῷ χρόνῳ ἐξαφανισθῇ, ὁ μετὰ τόσων κόπων παρ' ἀνδρὸς οἷος ὁ Α. Μουστοξύδης ἀνευρεθεὶς ἀντιγραφεὶς καὶ δημοσιευθεὶς καὶ περὶ οὗ δικαίως ὁ Τζεϊμπέντης, τὴν ὀφειλομένην σημασίαν τῇ δημοσιεύσει ἀπονέμων, παρετήρει «ἦτο ἄξιος τωόντι νὰ προέλθῃ εἰς φῶς, καὶ νὰ προέλθῃ τὸ πρῶτον ἐν τῇ πόλει, τὴν ὁποίαν ὁ ταύτης προστάτης καὶ ὑπερασπιστὴς, ὁ μέγας Σπυρίδων, διὰ τῆς ζώσης σχεδὸν παρουσίας τοῦ ἀδιαφθόρου αὐτοῦ Σκήνους συνέτεινε καὶ συντείνει εἰς τὸ νὰ διατηρῇ ἀκλόνητον εἰς τὰ δόγματα τῆς ὀρθοδόξου ἡμῶν πίστεως». Ἐννάτη ἔκδοσις εἶναι ἡ ἐν Ἐνετίᾳ τῷ 1880 ἐν τῇ ἑλληνικῇ Τυπογραφίᾳ ὁ Φοινὶξ γενομένη ἀναλώμασι Σ. Μελίκη. Τὸ ἐν τῇ ἐκδόσει ταύτῃ παράδοξον παρατηρούμενον εἶναι ὅτι οἱ ἐκδόται πάντα τὰ περὶ ἐκδόσεων βιβλίων παραδεδεγμένα ἔθιμα παραβαίνοντες οὐ μόνον ἐποίησαν *ἁπλῆν ἀνατύπωσιν*, μετὰ πάντων τῶν παραγράφων αὐτῆς τῆς προγενεστέρας ἐκδόσεως τοῦ 1872, ἀλλὰ καὶ αὐτὸν τὸν Πρόλογον τῆς ἑβδόμης Ἐκδόσεως ἀντιγράψαντες ἁπλῶς ἀνετύπωσαν, μὴ προταξάντες ἴδιον Πρόλογον καταλληλον. Ἐντεῦθεν εἰς τὴν ἐκ τοῦ Προλόγου ἐκείνης τῆς ἐκδόσεως προερχομένην σύγχυσιν περὶ τῶν προηγουμένων ἐκδόσεων, προσετέθη συνεπῶς καὶ ἑτέρα σύγχυσις, διότι καὶ αὕτη ἡ Η΄. ἔκδοσις κατὰ τὸν ἁπλῶς ἀντιγραφέντα Πρόλογον θεωρεῖται οὐδὲν ἧττον ἢ πέμπτη.

Τῷ 1869 ὁ κ. Ἰωάννης Ζερβὸς ποτὲ Ἱερέως Ἀναστασίου ἐξέδοτο ἐν Κερκύρᾳ τύποις ὁ «Κάδμος» Βίον τοῦ ἁγ. καὶ θαυματουργοῦ Σπυρίδωνος προστάτου Κερκύρας μετὰ τῶν νεωτέρων θαυμάτων αὐτοῦ καὶ μετὰ προσθήκης κδ΄. Οἴκων τοῦ ἁγίου. Ὁ τὴν παροῦσαν Δεκάτην Ἔκδοσιν ἀναλαβὼν κ. Σ. Χ. Ραφτάνης, γνωστὸς ὡς ἐκδότης καὶ πολλῶν ἄλλων θρησκευτικῶν ἰδίως βιβλίων, συνεπλήρωσε τὰς προηγουμένας. Ἀνεδημοσίευσε τὸν ἐκ τῶν τριῶν προηγουμένων ἐκδόσεων ἐξοβελισθέντα Βίον

1) Ὁ γνωστὸς ἐκδότης κ. Ραφτάνης ὀρθῶς ποιήσας καὶ ἐν τῇ κατὰ τὸ 1876 ἐκδόσει τῶν τεσσάρων Ἀκολουθιῶν τοῦ ἁγ. Διονυσίου ἀρχιεπισκόπου Αἰγίνης (συντεχθεισῶν ὑπὸ Γεωργίου Σουφλιάρδου, Ἀγγ. Συμμαχίου, Γεωργίου Γιαννουλη καὶ ἀνωνύμου τετάρτου) ἐδημοσίευσεν ἐν τῷ εἰκείῳ τόπῳ τῆς ὑπ' αὐτοῦ ἐκδοθείσης ἀσματικῆς ἀκολουθίας, τὸ ἐν τῇ ἀρχαίᾳ γλώσσῃ ἀνέκδοτον Συναξάριον, γραφὲν ὑπὸ Ἀγγέλου Συμμαχίου (προεκδοθέντος τοῦ ἁπλελληνικοῦ τῷ 1844). Καὶ ἕτερα τρία Συναξάρια συνεξέδωκε, τὸ μὲν ἐν συντόμῳ ὑπὸ τοῦ Σουφλιάρδου τὸ δὲ ἄλλο ὑπὸ τοῦ Γιαννουλη, τὸ δὲ τρίτον, νέον, προστεθὲν ἐν τῇ ἀκολουθίᾳ τοῦ ἀνωνύμου, περιέχον ἀπαντήσεις τῶν παλαιοτέρων θαυμάτων καὶ θαύματα νέα μέχρι τῶν ἡμερῶν ἡμῶν.

τοῦ Συμεὼν Μεταφραστοῦ, προσέθηκεν Ἐπιγράμματα ἕτερα καὶ μαρτυρίας τῆς Γραφῆς περὶ ἁγίων· ἀνεδημοσίευσε καὶ τὸ βιβλίον *Οὐρανοῦ Κρίσις* μετὰ τῆς σχετικῆς Ἀκολουθίας. Τῆς *Οὐρανοῦ Κρίσεως*, καὶ τῆς Ἀκολουθίας αὐτῆς, συγγραφεὺς εἶναι Ἀθανάσιος ὁ Πάριος, θεολόγος, μαθητὴς τοῦ Ν. Θεοτόκη († 1813). Τῆς Ἀσματικῆς Ἀκολουθίας δὲν γίνεται οὐδέποτε χρῆσις ἐπ' Ἐκκλησίας καὶ δικαίως. Διότι ἐὰν παντοῦ καὶ πάντοτε ἡ τοῦ Ἰησοῦ Θρησκεία ἐπιβάλλει τοῖς ὀπαδοῖς αὐτῆς εἰρήνην καὶ φιλαδελφίαν, πολλῷ μᾶλλον ὀφείλεται αὕτη νὰ τηρῆται ἐν τῷ Ναῷ τοῦ Θεοῦ καὶ εἰς στιγμὰς καθ' ἃς προσευχόμεθα, ἐπικαλούμενοι τὴν θείαν συγχώρησιν τῶν πρὸς ἡμᾶς καὶ ἐνώπιον Θεοῦ ἁμαρτησάντων. Ὁ ἐκδότης ὅμως κ. Ραφτάνης ἐνόμισε καλὸν τὴν ἀναδημοσίευσιν τῆς Ἀκολουθίας πρὸς διάσωσιν αὐτῆς, μᾶλλον ὑπὸ γραμματολογικὴν ἔποψιν καὶ φιλολογικὴν ἀξίαν. Ἐδημοσιεύθη ἡ Οὐρανοῦ Κρίσις τὸ πρῶτον τῷ 1805 ἐν Λειψίᾳ παρὰ τῷ Neuber μετὰ τοῦ Βίου τοῦ ἁγ. Κλήμεντος Βουλγαρίας, ἀνετυπώθη δὲ ἐν Ἀθήναις τῷ 1850.

Εἰς συμπλήρωσιν τῶν ἀνωτέρω σημειοῦμεν ὅτι καθὰ ἀνεκοίνωσεν ἡμῖν ὁ ἐν Ὀδησσῷ τὰ μάλιστα λόγιος ἀρχιμανδρίτης καὶ σεβαστὸς φίλος κ. Ε. Βουλισμᾶς σώζεται ἐκεῖ χειρόγραφος ἀκολουθία τοῦ ἁγίου. Λυπηρὸν ὅτι ἀποβαίνει ἀδύνατος πρὸς τὸ παρὸν ἡ συνέκδοσις αὐτῆς ἐν τῇ παρούσῃ βίβλῳ. Ἐλπίζομεν ὅμως καὶ εὐχόμεθα ἵνα τὸ πολύτιμον ἐκεῖνο χειρόγραφον ἔλθῃ ποτὲ εἰς φῶς. Τοῦ ἐν Ὀδησσῷ χειρογράφου ἡ ἀκολουθία συνετάχθη ἢ μᾶλλον συνεπληρώθη, καθὰ γράφει ὁ ἀρχιμανδρίτης, ὑπὸ *Ἐμμανουὴλ Χρυσολωρᾶ Δούκα τοῦ Χρυσάφη*, ἀκμάσαντος ἐπὶ τοῦ αὐτοκράτορος Ἰωάννου τοῦ Παλαιολόγου, ὅμα γνωστὸν ἐκ τοῦ ὀκτωήχου δοξαστικοῦ *Θεαρχίῳ Νεύματι* ὅπερ *ἐψάλλετο ἐν τῇ βασιλίδι τῶν πόλεων* κατὰ τὴν περίεργον ἐπιγραφήν, ἐνώπιον τοῦ ἱεροῦ λειψάνου οὗτινος ἡ σύναξις ἐτελεῖτο ἐν τῷ *σεπτῷ Ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου καὶ κορυφαίου Πέτρου*, τοῦ συγκειμένου τῇ ἁγιωτάτῃ *Μεγάλῃ Ἐκκλησίᾳ*. Καὶ κανόνας μὲν νέους ἡ χειρόγραφος ἀκολουθία δὲν ἔχει, ὁ Χρυσάφης ὅμως ἐποίησε καὶ προσέθηκε τὰ *Μακαριστήρια* μετὰ τῶν στίχων τοῦ Ἀμώμου, ὅλως διάφορα τῶν ἐκδεδομένων κατ' ἀλφάβητον εἰς στάσεις. Τὸ ἐν Ὀδησσῷ χειρόγραφον, κατὰ τὴν κρίσιν τοῦ κ. Βουλισμᾶ, προφανῶς ἦν κτῆμα αὐτοῦ τοῦ ναοῦ τοῦ Ἀποστόλου ἐν Κωνσναντινουπόλει, ἐκεῖθεν δὲ μετηνέχθη εἰς Κρήτην καὶ ἐγένετο κτῆμα Γρηγορίου ἱερέως τοῦ Μαρῆ. Ἐκ τούτου διεγράφη ἔν τισι τροπαρίοις ἡ λέξις Κωνσταντινούπολις, καὶ ἀνεπληρώθη ἄλλως π. χ. τὸ, *Βασιλίδα πόλιν* νῦν συντήρει, εἰς, *τῶν Κρητῶν τὴν πόλιν*. Ἐκ Κρήτης μετέβη τὸ χειρόγραφον εἰς τὰς Ἰονίους Νήσους, καὶ ἀπὸ νήσου εἰς νῆσον καὶ ἀπὸ προσώπου εἰς πρόσωπον περιῆλθεν εἰς χεῖρας τοῦ κ. Βουλισμᾶ. Παραβαλὼν δὲ αὐτὸ ὁ κ. Βουλισμᾶς πρὸς ἕτερα τρία χειρόγραφα ἐπισυνῆψεν ἡμῖν κατάλογον τῶν ἀνεκδότων, τροπαρίων ἀνερχομένων εἰς τριάκοντα καὶ ἕξ. Ἓν μόνον ἰδιόμελον, λαβόντες ἐν ἀντιγράφῳ δημοσιεύομεν ἐν τῇ ἐκδόσει ταύτῃ, εὐχόμενοι καὶ πάλιν ἵνα καὶ τὰ *λοιπὰ ταχέως* δημοσιευθῶσι.

Ἰδιόμελον·ἦχος Πλ. Δ΄. πρὸς τὸ, Ἔχει μὲν ἡ θειοτάτη σου (ἴδε τῇ 26 Ὀκτωβρίου, τοῦ ἁγ. Δημητρίου).

Εὕρες μὲν τῇ πλατείᾳ σου Θεὸν, τὸν βλέποντα τὰ κρύφια καὶ πρόδηλα, τὴν καρδίαν σου δεκτικὸν ποιήσας σκήνωμα· ὅς τὸ πρᾶον ἐπιζητεῖ καὶ πιστὸν πρὸς κατοικίαν αὐτοῦ ἀδιάλειπτον. Ἔχει δὲ καὶ τὸ *παν ἱερον καὶ τὸ θεοχαριτωτόν σου σῶμα τὸν περίκλυτον τοῦτον ναὸν ἐπὶ γῆς*, θαυμάτων πέλαγος ἀπείρων, ἀκοῶν τε θεραπευτήριον· ἔνθα συντρέχοντες Ἱεράρχα σε δοξάζομεν, χάριν τῶν ἰάσεων ἐκ σοῦ κομιζόμενοι πάντες ἀπὸ τῶν ἐναντίων προσβολῶν. Ὡς γὰρ πρᾶος, Σπυρίδων, τοῖς πιστοῖς νέμεις τὰ πρόσφορα.»

Ἐξ αὐτοῦ τοῦ τροπαρίου δείκνυται ὅτι ἐψάλλετο τοῦτο ἐν τῷ ναῷ, ἐν ᾧ ἦν κατατεθειμένον τὸ Λείψανον (καὶ ἑπομένως ἐψάλλετο καὶ πᾶσα ἡ ἀκολουθία)· διὸ δύναται νὰ χρησιμεύσῃ καὶ νὰ ψάλληται ἐν τῷ ἐνταῦθα ἐν Κερκύρᾳ ναῷ ὅπου τὰ νῦν ἀπόκειται. Εἶναι δὲ τὸ τροπάριον ἔργον τοῦ Μ. Σακελλαρίου τοῦ Μελιτικιώτου.

Πλὴν τῶν ἀνωτέρω γνωστὸν ποιεῖ ἡμῖν ὁ εὐλ. Βουλισμᾶς ὅτι ἐν Βιέννῃ σώζεται χειρόγραφος βίος τοῦ ἁγ. Σπυρίδωνος ἐκτενέστατος. Ἐπίσης ἕτερος ἀνέκδοτος Βίος ἀπόκειται ἐν τῇ Μαρκιανῇ βιβλιοθήκῃ τῆς Ἐνετίας. Ἐκ τῆς παραθέσεως δὲ τούτων πρὸς τὸν γνωστὸν Βίον Συμεὼν τοῦ Μεταφραστοῦ ἐξάγεται ὅτι ὁ τοῦ Μεταφραστοῦ εἶναι περίλειψις ἐκ τοῦ ἀνεκδότου τούτου βίου. Τοῦτον εἶχον πρὸ ὀφθαλμῶν καὶ οἱ ποιηταὶ τῶν Κανόνων, ἐξ αὐτοῦ λαβόντες λέξεις τινας μὴ ἀπαντώσας παρὰ τῷ μεταφραστῇ. Καὶ ἕτερος δὲ βίος τοῦ ἁγίου, διάφορος τῶν δύω τούτων σώζεται κατὰ τὸν Bandini ἐν τοῖς χρονογράφοις τῆς τῶν Μεδίκων Βιβλιοθήκης. Δὲν θὰ συνεκδοθῶσιν ἄρα γε καὶ οὗτοι οἱ βίοι ποτὲ μετὰ τῆς ἐν Ὀδησσῷ ἀκολουθίας;

Τοσαῦτα περὶ τῶν Ἐκδόσεων. Καὶ ἐν τῇ παρούσῃ ἐπεστήσαμεν τὴν προσοχὴν τοῦ Ἐκδότου ἐπί τινων ἁμαρτημάτων παρεισφρυσάντων ἐκ τῶν παλαιοτέρων Ἐκδόσεων, ἅτινα μετὰ τῶν τυχαίων τυπογραφικῶν θέλουσι διορθωθῇ ἐν τέλει τῆς βίβλου.

Ἀπομένει νὰ εἴπωμεν νῦν, ὅπως τὰ περὶ τοῦ ἡμετέρου Ἁγίου συμπληρωθῶσι, τινὰ ἀφορῶντα ἰδίως τὸ ἐν Κερκύρᾳ Λείψανον αὐτοῦ, ὧν πολλὰ παραλαμβάνομεν ἐκ τοῦ βιβλίου. «Ἀληθὴς ἔκθεσις περὶ τοῦ ἐν Κερκύρᾳ θαυματουργοῦ Λειψάνου τοῦ ἁγίου Σπυρίδωνος, παρὰ Νικολάου τοῦ Βουλγάρεως, νῦν δὲ ἐξελληνισθεῖσα μετὰ σημειώσεων ὑπὸ Ν Τ. Βουλγάρεως καὶ Ν. Β. Μάνεση 1).»

Τοῦ ἁγ. Σπυρίδωνος ἔνδοξον μνείαν ποιοῦνται ὁ Ἀθανάσιος (ἀπολογ. Β΄.) ὁ Ἱερώνυμος (**de Scriptor. Eccles**), ὁ Εὐσέβιος (Ἐκκλ. Ἱστορ.

1) Ἐξεδόθη δὶς, ἐν Κερκύρᾳ τῷ 1857, καὶ ἐν Ἐνετίᾳ τῷ 1880.

Γ'. 3.) ὁ Κυζικηνὸς, ὁ Γελάσιος, ὁ Συμεὼν Μεταφραστὴς, ὡς ἄνω ἐρρέθη, ὁ Ρουφῖνος (Α'. 5) ὁ Σωζόμενος ('Εκκλ. 'Ιστορ. α. 6'.) ὁ Νικηφόρος Κάλλιστος ('Εκκλ. 'Ιστ. η'. 15, 42). ὁ Γρηγόριος Καισαρείας ὁ Τριφύλλιος ἐν τοῖς 'Ιάμβοις αὐτοῦ, ὁ Σούρης (Τόμ. 5'.) ὁ Λιπτομάνος (Τόμ. ε'.) ὁ Βέδας, Σουίδας, Βαρώνιος, Γλυκᾶς καὶ ἐκ τῶν μετὰ ταῦτα πλεῖστοι ἄλλοι. Τὴν μνήμην αὐτοῦ ἐνῶ ἡ 'Ανατολικὴ 'Εκκλησία ἑορτάζει τῇ 12 Δεκεμβρίου, ἡ Δυτικὴ ἑορτάζει τῇ 14, κατατάσσουσα αὐτὸν μεταξὺ τῶν *'Ομολογητῶν*, ὑποστάντα μαρτύριά τινα περὶ τὸ 304 ἔτος, ἐπὶ αὐτοκράτορος Μαξιμίνου ἐν Κύπρῳ· ἐξώρυξαν δῆλα δὴ τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν, ἀπέκοψαν τὰ ἄρθρα τοῦ ἀριστεροῦ γόνατος καὶ κατηνάγκασαν αὐτὸν εἰς ἐργασίαν ἐν τοῖς μεταλλείοις. Ταῦτα κατὰ τὸ Δυτικὸν μαρτυρολόγιον. 'Αποθανὼν ὁ ἱερὸς Σπυρίδων τῷ 350 ἔτει, ἔμεινεν ὑπὸ τὴν γῆν ἑκατὸν ἔτη. Τὸ λείψανον αὐτοῦ μετηνέχθη ἐκ Κύπρου εἰς Κωνσταντινούπολιν. 'Ο Νικόλαος Βούλγαρης, προσφωνῶν τὴν *Κατήγησιν* αὐτοῦ τῷ ἐν Κερκύρᾳ Λατινεπισκόπῳ Καρόλῳ Λάβιᾳ λέγει ὅτι ὁ δεξιὸς βραχίων τοῦ 'Αγίου σώζεται τιμώμενος ἐν Ρώμῃ, ὅτι ἄδηλον ἂν ἐπέμφθη ἐκεῖσε ἐκ Κερκύρας ἢ ἐκ Κωνσταντινουπόλεως ἢ ἐκ Κύπρου, ἔνθα ἐτάφη ὁ Σπυρίδων καὶ ὅτι ἐκ τῶν πρὸς τὸν ἀδελφὸν αὐτοῦ, Χριστόδουλον Βούλγαρην, Μ. Πρωτοπαπᾶν Κερκύρας, δοθεισῶν πληροφοριῶν παρὰ τῶν μοναχῶν τοῦ τάγματος τοῦ ἁγ. Φιλίππου τοῦ Νεγνὶ, ὅτε ἐφοίτα εἰς τὸ 'Εκπαιδευτήριον αὐτῶν, δηλοῦται ὅτι ὁ πάπας Κλήμης Η'. ἐδωρήσατο τὸ Λείψανον τοῦτο τῷ Καρδιναλίῳ Βαρωνίῳ, ὅστις ἀφιέρωσε κατόπιν αὐτὸ εἰς τὴν νέαν 'Εκκλησίαν τῶν μοναχῶν ἐκείνων.(1)

Τὸ Λείψανον τοῦ ἁγίου Σπυρίδωνος περιῆλθεν εἰς κατοχὴν τῆς οἰκογενείας Βούλγαρη κατὰ τὸν ἑξῆς τρόπον. Κατὰ τὴν "Αλωσιν τῆς Κωνσταντινουπόλεως, (1453) ἱερεύς τις, Γεώργιος Καλοχαιρέτης, εὔπορος καὶ εὐπατρίδης τῆς Πόλεως, (ὡς ἐξάγεται ἐξ ἐγγράφου τοῦ ἔτους 1613 σωζομένου ἐν τῷ Ναῷ τοῦ 'Αγίου) παρέλαβεν ἐν τῇ ταραχῇ ἐκείνῃ, ὅπως σώσῃ ἀπὸ τῶν βαρβάρων, τὰ ἐν τῇ 'Εκκλησίᾳ αὐτοῦ ἀποκείμενα Λείψανα τοῦ ἁγ. Σπυρίδωνος καὶ τῆς ἁγ. Θεοδώρας μετ' ἄλλων τεμαχίων Λειψάνων καὶ ἐκόμισεν αὐτὰ τῷ 1456, τρία ὅλα ἔτη μετὰ τὴν "Αλωσιν, εἰς τὴν Παραμυθίαν τῆς 'Ηπείρου. Ποῦ περιέφερε τὰ λείψανα ἐπὶ τρία ὅλα ἔτη εἶναι ἄγνωστον. 'Ο 'Ανδρέας Μάρμορας (**Istor di Corfu. p. 262**) λέγει ὅτι ἐνέκλεισεν αὐτὰ εἰς δύο σάκκους πληρωθέντας ἀχύρων καὶ ἐπὶ ὑποζυγίου διεβίβασεν αὐτὰ ἀνενόχλητος διὰ τῆς

1) 'Εν Ζακύνθῳ καθὰ ἐβεβαίωτεν ἡμῖν ὁ κ. Ραρτάνης, οἱ ἐν τῇ Ακτινικῇ Μητροπόλει τοῦ ἁγ. Μάρκου κατέχουσι τεμάχιον μικρὸν Λειψάνου, ὃ ἰσχυρίζονται ὅτι εἶναι τοῦ ἁγ. Σπυρίδωνος, κατὰ τὴν ἑορτὴν τοῦ ὁποίου ἐκτίθεται εἰς προσκύνησιν.—Κατὰ σημείωσιν, ἣν προστέθηκεν ὁ κλέσ. ἱερεὺς Κων. Βούλγαρης εἰς τὴν νέαν ἔκδοσιν τῆς 'Αληθοῦς ἐκθέσεως κ.λ, ἔλαβε τῷ 1872 πιστοποιητικὸν γράμμα παρὰ τοῦ λατινεπισκόπου τῆς πόλεως Φερεντίνου (ἐν τῇ ἐπαρχίᾳ τῆς Ρώμης) ὅτι ἐν τῇ ἀποθήκῃ τῶν λειψάνων τῆς ἐν Ρώμῃ ἐκκλησίας S. Maria di Vallicella καλουμένης τῶν Φιλιππινῶν, σώζεται εἰς βραχίων τοῦ 'Αγίου, ἐν ἀρχαίᾳ μεταλλίνῃ θήκῃ, βραχιονοειδοῦς σχήματος καὶ φερούσης ἀνάγλυφον τὴν εἰκόνα τοῦ ἁγίου.

πορθουμένης 'Ελληνικῆς χώρας, πείθων τοὺς ἀπαντῶντας αὐτὸν ὅτι τὸ φορτίον του περιεῖχεν ἁπλῆν κτηνοτροφήν. Ἐκ Παραμυθίας μετέβη μετὰ τῶν Λειψάνων εἰς Κέρκυραν, ἀπολαύουσαν ἐλευθερίας τινὸς ὑπὸ τοὺς 'Ενετοὺς, ὅπου ἐγένετο δεκτὸς μετὰ γενναίας φιλοξενίας. Τὰ Λείψανα διετέλουν ἐν τούτοις εἰς κατοχὴν τοῦ Καλοχαιρέτη. Μετὰ τὸν θάνατον αὐτοῦ, οἱ τρεῖς υἱοὶ Φίλιππος, Λουκᾶς καὶ Μάρκος διενεμήθησαν τὴν πατρικὴν οὐσίαν, δηλαδὴ τὰ Λείψανα. 'Η διανομὴ ἐγένετο διὰ συμβολαιογραφικῆς πράξεως, ἧς τὸ ἑλληνικὸν κείμενον ἀπωλέσθη, σώζεται δὲ μόνον ἑλληνικὴ μετάφρασις, ὑπὸ χρονολογίαν 17 Μαΐου 1483. Καὶ οἱ μὲν δύο πρῶτοι ἔλαβον τὸ τοῦ ἁγίου Σπυρίδωνος, ὁ δὲ τελευταῖος τὸ τῆς ἁγ. Θεοδώρας Λείψανον μετὰ τῶν λοιπῶν τεμαχίων. Τῷ 1849 ὁ Φίλιππος ἠθέλησεν, ἄγνωστον ἐκ ποίων λόγων ὁρμώμενος, νὰ μεταφέρῃ τὸ τοῦ ἁγ. Σπυρίδωνος Λείψανον εἰς 'Ενετίαν, ἐζήτησε δὲ καὶ ἔλαβε παρὰ τοῦ Δουκὸς τῆς 'Ενετίας Αὐγουστίνου Βραγαδίνου δύο γράμματα ἐξασφαλίζοντα τὰ Λείψανα μέχρι τῆς ἀφίξεως αὐτῶν εἰς τὴν πόλιν ἐκείνην. Οἱ Κερκυραῖοι ὅμως, λυπούμενοι ἐπὶ τούτῳ, ὁμοφώνως ἱκέτευσαν αὐτὸν νὰ μὴ πραγματοποιήσῃ τὸν σκοπὸν αὐτοῦ· εἰς δὲ τὰς ἱκεσίας ταύτας ἐνδοὺς ὁ Φίλιππος κατέθηκε τὸ Λείψανον ἐν τῷ τῆς κοινότητος ναῷ τοῦ Ταξιάρχου καὶ αὐτὸς δὲ ἔμεινεν ἐν Κερκύρᾳ ὡς κτήτωρ. 'Αποθανόντος τοῦ Φιλίππου ἡ κληρονομία τοῦ Λειψάνου ἀπέμεινεν ἀφ' ἑνὸς τῇ χήρᾳ Μαρίᾳ καὶ τῇ ἀνηλίκῳ θυγατρὶ 'Ασιμίνῃ, ἀφ' ἑτέρου τῷ ἑτέρῳ ἀδελφῷ Λουκᾷ, συγκληρονόμῳ, ὡς εἴπομεν, ὅστις διέμενε τότε ἐν "Αρτῃ. 'Εκεῖνος μαθὼν τοῦ ἀδελφοῦ τὸν θάνατον, «ἵνα τύχῃ ἡ ἀνεψιά του 'Ασιμίνη *βελτίονος συνοικεσίου*, λέγει ἡ *"Εκθεσις*, παρεχώρησεν αὐτῇ τὰ ἐπὶ τοῦ Λειψάνου δικαιώματα αὐτοῦ» ἀποκλείσας πάντα ἄλλον συγγενῆ. Τὸ ἔγγραφον, ἀπὸ Σεπτεμβρίου 1512 χρονολογούμενον, συνταχθὲν ἐνώπιον τοῦ Μητροπολίτου "Αρτης 'Ιακώβου καὶ φέρον τὰς ὑπογραφὰς τῶν μαρτύρων, σώζεται παρὰ τῇ οἰκογενείᾳ Βούλγαρη. «'Αφοῦ ἡ δωρητήριος αὕτη πρᾶξις ἔφθασεν εἰς Κέρκυραν, προστίθησιν ἡ *"Εκθεσις*, ἔγινε λίαν ἐπιζήτητος ἡ χεὶρ τῆς 'Ασιμίνης», ἥτις τέλος συνεζεύχθη τῷ εὐπατρίδι Κερκυραίῳ Σταματίῳ Βούλγαρη, ὅστις εἰς προῖκα ἔλαβε τὸ ἱερὸν Λείψανον διὰ προικοσυμφώνου γεγραμμένου ἐνώπιον τοῦ Συμβολαιογράφου Πέτρου Σπόγγου, τῇ 13 Μαρτίου 1521, ἐν ᾧ ἀπαντᾷ καὶ ἡ ἀφελὴς αὕτη ἔκφρασις «ὁμοίως τῆς δίδει εἰς προῖκα καὶ εἰς ὄνομα προικὸς *(το.μῶ εἰπεῖν μετ' εὐ.λαβίας)* τὸ τίμιον καὶ ἅγιον Λείψανον τοῦ ἁγ. Σπυρίδωνος τοῦ θαυματουργοῦ, ὅλον καθὼς εὑρίσκεται»1). 'Αποθανόντος τοῦ Σταματίου Βούλγαρη, ἄγνωστον ἀκριβῶς πότε (—τῷ 1566 δὲν ἔζη πλέον—) τῷ 1571, 25 Νοεμβρίου, ἡ χήρα, γραῖα ἤδη, ἐκληροδότησε τὸ Λείψανον διὰ συμβολαιογραφικῆς πράξεως εἰς τοὺς δύο υἱοὺς αὐτῆς, ἱερεῖς, 'Αρτέμιον καὶ Νικόλαον Τῷ 1605,

1) Τὸ δὲ τῆς ἁγ. Θεοδώρας Λείψανον ὁ κληρονόμος αὐτοῦ Μάρκος Καλοχαιρέτης, ὀρθῶς ποιῶν, εἶχεν ἤδη ὁμοίρᾳ ἀπὸ τοῦ 1483 τῇ Κοινότητι τῆς Νήσου Κερκύρας.

ἀποθανόντος ἤδη τοῦ ἱερέως Νικολάου, ὁ Ἀρτέμιος ἐξελέχθη Μ. Πρωτοπαπᾶς τῆς Κερκύρας. Τῷ **1608** ἀποθανὼν κατέλιπε τρεῖς υἱούς, ὧν οὐδεὶς Κληρικός. Μακροὶ δικαστικοὶ ἀγῶνες προῆλθον ἐντεῦθεν, πολλῶν ἀπαιτούντων δικαιώματα ἐπὶ τοῦ Ἁγίου, χάριν τῶν ἐξ αὐτοῦ τῶν ὠφελειῶν καὶ τῶν προσόδων. Τῷ **1751** ἐκηρύχθη ὁ Ναὸς τοῦ Ἁγίου *Σταυροπήγιον*, ὑπὸ τὴν Ἐξάρτησιν τοῦ Οἰκουμενικοῦ Πατριάρχου. Ἐπὶ τέλους διὰ ρητῆς διατάξεως, ὡς λέγει ἡ *Ἔκθεσις*, ἠκυρώθη πᾶσα προηγουμένη πρᾶξις καὶ ἐπεκυρώθη ἡ Πατρωνεία ἐπὶ τοῦ Λειψάνου εἰς τὸν οἶκον Βούλγαρη. Τῷ **1772** ἀπένειμεν ἡ Ἐνετία τῇ οἰκογενείᾳ τὸν τίτλον *Κόμητος*, διὰ τὰς πρὸς τὴν πατρίδα ὑπηρεσίας.

Τὴν κλεῖδα τῆς Λάρνακος τοῦ Λειψάνου εἶχεν ἀρχῆθεν ὁ κτήτωρ. Ἐπὶ τῶν δύο κτητόρων Ἀρτεμίου καὶ Νικολάου προσετέθη καὶ δευτέρα κλείς, λαβόντος ἑκάστου μίαν. Μετά τινα ἔτη προσετέθησαν καὶ ἕτεραι δύο κλεῖδες (ἐν ὅλῳ τέσσαρες), ὧν μίαν ἐκράτει ὁ τῆς Νήσου Βάϊλος καὶ μίαν εἷς τῶν Συνδίκων. Πᾶσαι αἱ κλεῖδες αὗται ἐμαρτύρουν τὴν ἔλλειψιν ἀμοιβαίας πίστεως καὶ φόβον μὴ τὸ Λείψανον αἴφνης, γενόμενον ἀνάρπαστον, ἁπαχθῇ ἐκτὸς τῆς Κερκύρας ἢ καὶ αὐτοῦ τοῦ Ἐνετικοῦ κράτους. Κατ' ἀρχὰς τὰ τοῦ Ναοῦ διεχειρίζοντο μετὰ τῶν κτητόρων καὶ τέσσαρες ἐπίτροποι, μὴ ἀνήκοντες τῇ οἰκογενείᾳ Βούλγαρη. Τῷ **1679** προσετέθη καὶ πέμπτος ἐπίτροπος· τῷ **1711** περιωρίσθησαν εἰς δύο· τῷ **1721** τέλος ἀπεδόθη ἡ διαχείρισις εἰς μόνην τὴν οἰκογένειαν, μὴ καταργηθέντων καὶ τῶν ἐπιτρόπων.

Ἡ Ἐνετικὴ κυβέρνησις ἀπένειμε κατὰ διαφόρους καιροὺς πολλὰ προνόμια καὶ ἀναθήματα ἐλαίου, ἀργυρῶν κανδηλῶν καὶ ἄλλων πολυτίμων σκευῶν τῇ Ἐκκλησίᾳ τοῦ Ἁγίου. Τιμὰς ἐξηκολούθησαν ἀπονέμοντες οἱ τοὺς Ἐνετοὺς διαδεχθέντες Γάλλοι. Ἀπελθόντων τῷ **1800** καὶ τῶν Γάλλων ἐκ τῆς Νήσου καὶ ἱδρυθείσης τῆς Ἰονίου Πολιτείας ἡ οἰκογένεια Βούλγαρη ἐζήτησεν ἵνα τεθῇ ὁ Ναὸς μετὰ τοῦ Λειψάνου ὑπὸ τὴν προστασίαν τῆς Ρωσσίας. Παῦλος ὁ Α΄. αὐτοκράτωρ παρεχώρησε δι' αὐτοκρατορικοῦ θεσπίσματος τὴν προστασίαν καὶ ἐτησίαν προσφορὰν **125** ρουβλίων. Ἔκτοτε ἡ εἰκὼν τοῦ ρωσσικοῦ στέμματος ὑπάρχει ἀνηρτημένη ἐν τῷ Ναῷ παρὰ τὸν ἐπισκοπικὸν θρόνον. **1**)

Προστιθέμεθα ὀλίγα τινὰ περὶ τῶν Ναῶν ἐν οἷς κατετέθη ἀρχῆθεν τὸ Λείψανον. Κατ' ἀρχὰς κατετέθη ἐν τῷ Ναῷ τοῦ ἁγ. Ἀθανασίου, κειμένῳ παρὰ τοὺς ὁμωνύμους προμαχῶνας τῆς πόλεως καὶ κατόπιν τῷ **1808** ὑπὸ τῶν Γάλλων κατεδαφισθέντι. Ἐκεῖ ἐναπέκειτο καὶ τὸ τῆς ἁγ. Θεοδώρας Λείψανον. Ἐντεῦθεν μετηνέχθησαν εἰς τὸν ναὸν τοῦ ἁγ. Λαζάρου, κείμενον παρὰ τὸ προάστειον ἁγ. Ρόκκου (**San Rocco**). Ὅτε δὲ κατηδαφίσθησαν αἱ ἐκτὸς τῆς πόλεως οἰκίαι καὶ Ἐκκλησίαι, ὅπως ἐγερθῶσιν ἐκεῖ τείχη, μετηνέχθησαν τὸ μὲν Λείψανον τοῦ ἁγ. Σπυρίδωνος

1) Ἐπὶ τοῦ κριμαϊκοῦ πολέμου ἡ ἐν Κερκύρᾳ Ἀγγλικὴ Προστασία εἶχε κατακοιδάσῃ τὸ στέμμα ἐκεῖνο.

εἰς τὸν ναὸν τοῦ Ταξιάρχου Μιχαήλ (**1489**), τὸ δὲ τῆς ἁγ. Θεοδώρας εἰς τὸν τοῦ ἁγ. Νικολάου. (Ἐκεῖ τὸ τῆς ἁγ. Θεοδώρας ἔμεινε μέχρι τοῦ **1740** ὅτε μετηνέχθη εἰς τὸν τῆς Κοινότητος ναὸν τοῦ Ταξιάρχου. Τῷ **1841**, ἀνοικοδομηθείσης τῆς Ἐκκλησίας Θεοτόκου Σπηλαιωτίσσης καὶ ὁρισθείσης μητροπολιτικῆς Ἐκκλησίας, μετετέθη ἐκεῖ καὶ τὸ Λείψανον, ὅπου καὶ νῦν ἀπόκειται.) Ὁ Σταμάτιος Βούλγαρης, δύο ἔτη μετὰ τὸν γάμον του τῷ **1527** ἔλαβεν ἄδειαν παρὰ τοῦ Βαΐλου τῆς Κερκύρας Νικολάου Βραγαδίνου ὅπως κτίσῃ ἴδιον ναὸν τοῦ Ἁγίου, ἐν τῷ προαστείῳ τῆς πόλεως παρὰ τὸν ναὸν τοῦ ἁγ. Λαζάρου, οὐχὶ μακρὰν τῶν νῦν σωζομένων πρὸς τὸ νέον φρούριον προμαχώνων τῆς πόλεως. Τὸ Λείψανον μετηνέχθη ἐν τῷ νεοδμήτῳ ναῷ τῷ **1531**, μετὰ μακρὸν δικαστικὸν ἀγῶνα πρὸς τοὺς Συνδίκους τῆς πόλεως, προτιμῶντας νὰ μένῃ τοῦτο ἐν τῷ τῆς Κοινότητος ναῷ τοῦ Ταξιάρχου. Κατὰ τὴν ἐν ἔτει **1537** ἐπίθεσιν κατὰ τῆς νήσου τοῦ Σουλτὰν Σουλεϊμὰν, μετηνέχθη τὸ Λείψανον *προσωρινῶς*, ὅπως ἐξασφαλισθῇ, εἰς τὸ ἐν τῷ παλαιῷ φρουρίῳ παρεκκλήσιον τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ, ἔνθα προσέφυγε καὶ ἡ οἰκογένεια Βούλγαρη. Τῷ **1577** οἱ Ἀρτέμιος καὶ Νικόλαος Βουλγάρεις ἠναγκάσθησαν νὰ μεταφέρωσιν αὐτὸ καὶ τὰ σκεύη τοῦ ναοῦ τοῦ ἁγ. Σπυρίδωνος εἰς τὸν ἐν τῷ προαστείῳ Γαρίτσης ναὸν τοῦ ἁγ. Νικολάου, διότι ἡ ἐνετικὴ ἀρχὴ κατηδάφισε τὸν ναὸν ἐκεῖνον, πρὸς οἰκοδομὴν τῶν ὀχυρωμάτων τῆς πόλεως. Εἰς ἀντάλλαγμα παρεχωρήθησαν αὐτοῖς ἕτερα γήπεδα, ἐφ' ὧν κατόπιν ἀνηγέρθη ὁ νῦν ὑπάρχων τοῦ Ἁγίου Ναός, ὅστις ἐγκαινιασθεὶς τῷ **1589** συνεπληρώθη ἐξ ὁλοκλήρου τῷ **1594**, **1**) κἀι ἐν ᾧ εἶναι κατατεθειμένον τὸ Λείψανον.

Τὸ Λείψανον δὶς τοῦ ἔτους ἐκτίθεται εἰς κοινὴν προσκύνησιν ἐν τῷ Ναῷ, ἐπὶ τρεῖς μὲν ἡμέρας κατὰ τὴν ἑορτὴν (**11**—**13** Δεκεμβρίου), τέσσαρας δὲ τὸ Πάσχα (Μ. Σάββατον—Τρίτης τῆς Διακαινισίμου). Πανταχόθεν οἱ χριστιανοὶ μετὰ ζήλου καὶ πολλῶν καὶ πλουσίων ἀναθημάτων προστρέχουσιν ἡμέρας καὶ νυκτὸς, τελουμένων ἀγρυπνιῶν. Τῇ **12** Δεκεμβρίου καὶ τῇ Τρίτῃ τοῦ Πάσχα ὁ ἱεροκήρυξ ἐκφωνεῖ μετὰ τὴν Λειτουργίαν κατάλληλον ἐγκώμιον **2**).

1) Ἐν τῷ Ναῷ τούτῳ ἐγένοντο ἐπικειλημμένως καὶ γίνονται πλεῖσται βελτιώσεις καὶ κεκλωπισμοὶ κατὰ μέγα μέρος δι' ἐκτάκτων συνδρομῶν τῶν χριστιανῶν. Ἀπὸ τοῦ **1727** ἐκόσμουν τὴν ὀροφὴν αὐτοῦ ὁλόκληροι περικαλλέστατοι εἰκόνες, ἔργα καλλιτεχνικώτατα ἑνὸς τῶν ὀλίγων τοῦ γένους ζωγράφων, ἀκμακεριμμένων τότε, τοῦ Παναγιώτου Δοξαρᾶ. Κερκυραίου Δυστυχῶς αἱ εἰκόνες ἐκεῖναι αἵτινες σήμερον θὰ ἦσαν πολύτιμον μνημεῖον Βυζαντινικῆς ζωγραφικῆς, ἐξ ἀμελείας παρακκίρως ἐφθάρησαν. Πρὸ τριακονταετίας περίπου ἀντικατεστάθησαν δι' ἀντιγράφων τοῦ κ. Ν. Ἀσπιώτη, αὐταὶ δὲ αὗται τοῦ Δοξαρᾶ, μὴ ἐκτιμηθεῖσαι δεόντως διεκορπίσθησαν καὶ ἐκτὸς δύο σωζομένων, αἱ λοιπαὶ ἐξηφανίσθησαν. Ὁ νῦν τὰ τῆς Ἐκκλησίας διευθύνων Ἀρχιμανδρίτης Κωνστ. Βούλγαρης διεκινύει ζῆλον εἰς καλλωπισμὸν αὐτῆς. Εὐχῆς ἔργον θὰ ἦτο ἂν ὁ Ναὸς διὰ τῶν πλουτίων τακτικῶν εἰσοδημάτων αὐτοῦ ἀνεκαινίζετο ἐπὶ τὸ μεγαλοπρεπέστερον, ἀλλαμένου αὐτῷ σταυροειδοῦς Βυζαντιακοῦ ρυθμοῦ, ἀντὶ τοῦ ἁπλοῦ τετραπλεύρου. Ἤδη ἀνεκαινίσθη τὸ καταπέτασμα καὶ τὸ ἔδαφος, καλλιτεχνικὰς δὲ εἰκόνας ἐξειργάσθη ὁ κ. Σ. Προσαλέντης.

2) Τῷ **1771** ἐδημοσιεύθη ἐν Ἐνετίᾳ παρὰ τῷ Α Βόρτολι Ἐγκώμιον εἰς τὸν Ἅγιον ὑπὸ Βησσαρίωνος Κερκύρ, Ἀρχιμανδρίτου, τοῦ Λευκαδίου. Τὸ βιβλίον εἶναι νῦν σπανιώτατον.

Λιτανείαι τοῦ Λειψάνου γίνονται ἐνιαυσίως τέσσαρες. Πρώτη, τῇ 11 Αὐγούστου εἰς ἀνάμνησιν τῆς ἐν ἔτει 1716 λυτρώσεως τῆς νήσου ἐκ τῆς τῶν Τούρκων πολιορκίας. Δευτέρα, τῇ ά. κυριακῇ τοῦ Νοεμβρίου, θεσπισθεῖσα ἀπὸ τοῦ ἔτους 1673 ὑπὸ τῆς ἐνετικῆς ἀρχῆς, ἕνεκα τῆς κατὰ τὸ ἔτος ἐκεῖνο ἐνσκηψάσης πανώλης. Τρίτη τὸ Μ. Σάββατον, ἐκ παλαιῶν χρόνων τελουμένη, ἕνεκα τῆς κατὰ τὰς ἡμέρας τοῦ Πάσχα ἐγκαίρου ἀφίξεως σιτοφόρου πλοίου, δι' ἧς ἡ Κέρκυρα ἀπηλλάγη, θείᾳ συνάρσει, σιτωδίας, ἀπειλούσης ὄλεθρον. Ἡ τετάρτη εἶναι ἡ μεγαλοπρεπεστέρα καὶ διαρκεστέρα πασῶν, περιερχομένη τὴν πόλιν ἅπασαν· τελεῖται δὲ τῇ Κυριακῇ τῶν Βαΐων, ἐπίσης εἰς ἀνάμνησιν τῆς ἐνσκηψάσης τῷ 1630 πανώλης.—Μέχρι τοῦ 1695 τὸ Λείψανον λιτανευόμενον ἐφέρετο ἀσκεπές, εἰς τὰς ἀγκάλας βασταζόμενον ὑπὸ ἑνὸς μόνου ἱερέως. Τοῦ τρόπου τούτου θεωρηθέντος ἀπρεποῦς ἐκομίσθη ἐκ Βενετίας, δαπάνῃ Θωμᾶ Μοτσάνεγα, θήκη ἀργύρῳ καὶ χρυσῷ πεποικιλμένη, καὶ ἐν μέρει κρυστάλλῳ κεκαλυμμένη, ἐν ᾗ ἀπετέθη τὸ Λείψανον, καὶ ἥτις φυλάσσεται ἐντὸς τῆς ἐξωτερικῆς μεγάλης ἀργυρᾶς Λάρνακος. Αἱ λιτανεῖαι τῆς θήκης, φερομένης ὑπὸ ἱερέων, τελοῦνται μεγαλοπρεπῶς. Ἐπὶ Ἑνετῶν παρηκολούθουν αὐτὰς αἱ δημόσιαι ἀρχαὶ ἅπασαι καὶ πολλάκις καὶ ὁ Λατινεπίσκοπος, λαμπαδηφοροῦντες. Ἄλλοτε, ἐκ τῶν τεσσάρων ἱερέων τῶν βασταζόντων τὴν θήκην, δύο ἦσαν ἐκ τῆς κτητορικῆς οἰκογενείας Βούλγαρη καὶ δύο ἐκ τοῦ μοναχικοῦ τάγματος τοῦ ἁγ. Βασιλείου (διότι δῆθεν ὁ ἅγιος ἀνῆκεν εἰς αὐτό). Ἡ μεγαλοπρέπεια ἐξηκολούθησε καὶ ἐπὶ Γάλλων καὶ ἐπὶ Ἄγγλων καὶ μετὰ τὴν Ἕνωσιν 1).

1) Ἀπό τινων ἐτῶν παρατηρεῖται δυστυχῶς παρακμὴ τῆς παλαιᾶς ἐκείνης μεγαλοπρεπείας.

Ἔγραφον ἐν Κερκύρᾳ, κατὰ Σεπτέμβριον τοῦ 1883.

ΣΠΥΡΙΔΩΝ Κ. ΠΑΠΑΓΕΩΡΓΙΟΣ.

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΑΤΟΥ

ΔΕΚΕΜΒΡΙΩ ΙΒ'.

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν Στίχους ὲ. καὶ ψάλλομεν στιχηρὰ προσόμοια Ἦχος πλ. ὲ.

Ὦ τοῦ Παραδόξου Θαύματος.

Πάτερ Σπυρίδων μακάριε, Θαυμάτων πέλαγος ὤν, καὶ πηγὴ ἀνεξάντλητος, νόσῳ κατεχόμενον, καὶ θανάτῳ Κωνστάντιον, τὸν Βασιλέα τούτων ἀπήλλαξας· καὶ νουθεσίαις αὐτὸν κατέπεισας, παρατηρεῖν ἀεί, Ἱερεῦσιν ἅπασιν ὡς τῷ Θεῷ, πάντοτε λατρεύουσι, καλῶς προσφέρεσθαι.

Πάτερ Σπυρίδων θαυμάσιε, ταῖς ἀρεταῖς γεγονώς, ὑψηλὸς καὶ περίβλεπτος, Ἱεράρχης ἄκακος, ἐχρημάτισας Ὅσιε, καλῶς ποιμάνας Χριστοῦ τὸ ποίμνιον, καὶ πάντα λύκον πόρρω ἀπήλλασας, καὶ καθωδήγη-

σας, πρὸς τὴν ἐπουράνιον μάνδραν πιστοὺς, τούτοις προηγούμενος Ποιμὴν ὡς ἄριστος.

Πάτερ Σπυρίδων πανόλβιε, τὸν ἐν Τριάδι Θεὸν, προσκυνῶν καὶ σεβόμενος, τὴν Ἀρείου ἄθεον, σὺ καθεῖλες διαίρεσιν· καὶ τὸν ἀχρόνως Πατρὸς ἐκλάμψαντα, καὶ ἐκ μὴ ὄντως τὸν Κόσμον ἅπαντα, δημιουργήσαντα, Λόγον ἀνεκήρυξας ἴσον Πατρὶ, τούτου τε τὴν δύναμιν τὴν ἐνυπόστατον.

Δόξα. Ἦχος ά.

Ὅσιε Πάτερ μακάριε, Σπυρίδων σοφὲ, τὴν νεκράν, ὥσπερ ζῶσαν, ἐπηρώτας δι' ἀγάπην Θεοῦ. Ὄφιν δὲ μετέβαλες εἰς χρυσὸν, ὁ πενίαν ἀσκῶν· ῥύσιν δὲ ἐπέσχες Ποταμοῦ, συμπαθήσας λαῷ. Βασιλεῖ δὲ παρέστης Ἰατὴρ τῇ προνοίᾳ Θεοῦ· νεκροὺς δὲ πάλιν ἤγειρας, ὡς αὐτοῦ Μαθητής· τὴν πίστιν δὲ ἐτράνωσας, ἀναμέσον Πατέρων πολλῶν· πάντα οὖν ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ά.

Προεορτάσωμεν λαοὶ Χριστοῦ τὰ Γενέθλια, καὶ τὸν νοῦν ἐπάραντες ἐπὶ τὴν Βηθλεὲμ, ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ κατίδωμεν τὸ ἐν σπηλαίῳ μέγα Μυστήριον. Ἠνοίκται γὰρ ἡ Ἐδὲμ, Θεοῦ προερχομένου ἐκ Παρθένου ἁγνῆς, τέλειος ὑπάρχων ὁ αὐτὸς ἐν Θεότητι καὶ ἀνθρωπότητι· διὸ κράξωμεν· Ἅγιος ὁ Θεὸς, ὁ Πατὴρ ὁ ἄναρχος, Ἅγιος ἰσχυρὸς, ὁ Υἱὸς ὁ σαρκωθείς,

Ἅγιος ἀθάνατος, τὸ παράκλητον Πνεῦμα, Τριὰς Ἁγία δόξα σοι.

Εἰς τὸν Στίχ. Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Χαίροις Ἱεραρχῶν, τὸ κλέος Θεοφόρε, Πατὴρ ἡμῶν Σπυρίδων, τῆς Οἰκουμένης πρέσβυς, πρὸς τὸν Θεὸν θερμότατος.

Ὕμνοις σου τὴν σεπτὴν, καὶ φωτοφόρον μνήμην, τελοῦντες ἐπαξίως, δοξάζομεν ἀπαύστως, Χριστὸν τὸν σὲ δοξάσαντα.

Σὺ Πάτερ τὸ τριττὸν, τῆς Θεαρχίας κράτος, ἐν μέσῳ τῆς Συνόδου, κηρύξας τὸν ληρῶδη, Φιλόσοφον κατήσχυνας.

Δόξα. Ἦχος πλ. δ'.

Ἔγνως μὲν τῇ πολιτείᾳ σου, Θεὸν τὸν βλέποντα τὰ κρύφια, τὴν δὲ ψυχήν σου δεκτικὸν τῆς Τριάδος ἀπεργασάμενος σκήνωμα, ἀγνῶς ἐδέξω ταύτην Πάτερ Ὅσιε, καὶ νῦν ἀστράπτεις ἐμφορούμενος τοῦ θείου φωτός· διὸ καὶ τὸ τίμιον καὶ θεοφόρητον Σῶμά σου, ὡς ἱερὸν κειμήλιον ἔχοντες, καὶ πηγὴν ὄντως παντοίων θαυμάτων, πίστει συνερχόμενοι, Ἱεράρχα σὲ δοξάζομεν, ῥῶσιν κομιζόμενοι ψυχῆς καὶ σώματος· ὡς γὰρ μιμητὴς τοῦ Δεσπότου, τοῖς πιστοῖς νέμεις τὰ πρόσφορα.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπίζέσθω ἡ φάτνη· τὸ σπή-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΔΙΑΥΛΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΠΟΙΗΤΟΡΕΣ ΠΑΓΚΟΣΜΙΟΥ

λαιον δεχέσθω, ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε· καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ' ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα· διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

ΕΝ ΔΕ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Τὸ, Μακάριος ἀνὴρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς', καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ προσόμοια. Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Ἐν τῇ τοῦ Πνεύματος αἴγλῃ καταλαμπόμενος, τὸ ζοφερὸν καθεῖλεν, ὁ σοφὸς Ἱεράρχης, Ἀρείου καὶ λητρῳδὲς ὅθεν ἁπλῶς, δογματίσας Τριάδα σεπτὴν, ὑπὸ σοφῶν ἐδοξάσθη καὶ συνετῶν, καὶ τὴν Σύνοδον ἐκύρωσε.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχεις, ψυχῶν τε καὶ σωμάτων τοῖς πίστει θερμῇ, ἐκτελοῦσι τὴν μνήμην σου, Θεομακάριστε Πάτερ θαυματουργὲ, καὶ ὑμνοῦσι τὸν Σωτῆρα Χριστόν.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πράξεως, τῶν ἐντολῶν ἐδείχθης τοῦ Χριστοῦ Θεοφόρε, διὸ τῆς Βασιλείας τῆς ἄνω λαβών, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως Σπυρίδων ὑπὲρ ἡμῶν, Θεῷ εὔχου τῶν τιμώντων σε.

Ἕτερα Στιχηρὰ προσόμοια. Ἦχος ὁ αὐτός.
Ὦ τοῦ Παραδόξου Θαύματος.

Ὦ τοῦ Παραδόξου Θαύματος· τῷ λαμπρῷ Φωστῆρι, συμψάλλουσιν Ἄγγελοι, ὡς ζῶσα δὲ νεκρὰ αὐτῷ προσφθέγγεται, ὃς ῥεύματα ποταμοῦ, ἀναχαιτίσας τῷ ῥήματι ἔστησε· καὶ Διακόνου ποτὲ, τὴν ἀφωνίαν ὁ μέγας ἰάσατο· τὸ καυσῶδες τοῦ Ἡλίου, ὡς ἡ Παίδων κάμινος, μετεβλήθη εἰς δρόσον, Τριφυλῖνος διασώζεται.

Δεῦρο τῶν Πιστῶν τὸ σύστημα, τὸν ἁπλοῦν καὶ πρᾶον, ἀκέραιον ἄκακον, τὸν μέγαν ἐν Ἱεράρχαις προεξάρχοντα, Σπυρίδωνα τὸν σοφὸν, τὸν τῆς Νικαίας Συνόδου ὑπέρμαχον· τὸν καθελόντα νευραῖς, ὀρθῶν δογμάτων τὸν ἄθεον Ἄρειον, ἐπαξίως συνελθόντες, λαμπρῶς εὐφημήσωμεν, ὡς φωτίσαντα πᾶσαν, Οἰκουμένην τοῖς διδάγμασι.

Χαίροις ἡ λαμπρὰ καὶ ἡ εὔσημος, Κερκυραίων Πόλις, ὁμήγυρις ἐνδοξος· ἡ ἔχουσα τὴν Σορὸν τὴν τοῦ τρισμάκαρος, Σπυρίδωνος τοῦ σοφοῦ, ἐξ ἧς πηγάζει πιστοῖς τὰ ἰάματα, τοῖς πόρρω καὶ τοῖς ἐγγὺς, πρὸς ἀρρωγὴν ὀξυτάτη ὑπάρχουσα· καὶ σὲ Κερκύρα φρουροῦσα, ἀπὸ πάσης θλίψεως, καὶ λιμοῦ καὶ θανάτου, καὶ κινδύνων καὶ κακώσεων.

Δόξα, καὶ νῦν. Ἦχος ά. (Ὀκτώηχον).

Ποίημα Ἐμμανουὴλ Χρυσάφη τοῦ Δουκός.

Ἐψάλλετο ἐν τῇ Βασιλίδι τῶν Πόλεων.

Θεαρχίῳ νεύματι, πάντοθεν τὰ τῶν ἀνθρώπων συ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ ΚΑΙ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΟΠΤΗΡΙΟΝΤΟΡΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

στήματα, ἀπὸ οἰκείων δωμάτων φερόμενα.—Πλ. ά. Καταλαβόντα τὴν πανέντιμον τοῦ Λειψάνου σου θήκην, ἀξίως ἀσπάζονται.—β'. Αἱ δὲ ὑπέρτατοι τῶν ἐπὶ γῆς ἀξίαι, σὺν Βασιλεῖ ἡγεμόνι παραγενόμεναι.—Πλ. δ'. Τὸ Θεοφόρον καὶ ἀξιέπαινον σκῆνος ἐξάδουσαι, τῷ δέει κρατούμεναι, ὑπὲρ ἐπαίνου δὲ ποιούμεναι· καὶ ὁρατῶς ἐκβοῶσι τὴν τῶν ᾀσμάτων σοι μελῳδίαν· ἰδοὺ ὁ Θαυμάσιος Σπυρίδων νῦν προτίθεται.—γ'. Ἄρωμεν τοίνυν τὸν ὕμνον, καὶ κατὰ δύναμιν ὑμνήσωμεν τῶν Ἀρχιερέων τὸ μέγα κλέος.— Βαρύς. Διὰ τούτου γὰρ ἡ παγγενὴς, Κωνσταντιανῶν σωτηρία γίνεται· ᾧ ἀτενίζειν οὐκ ἰσχύουσιν ἔθνη πάντα, ἄξιόν τε ἀπονέμειν ἐφύμνιον.—δ'. Τούτου γὰρ τὸ τῶν θαυμάτων ὑπερέχει πᾶσαν ἔννοιαν —Πλ. δ'. Διὸ πάνσοφε Ἱεράρχα, ἀεὶ σὺν τῇ Μητρὶ τοῦ Ἰησοῦ, καὶ μετὰ πότμον πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν νεολαίαν σου· τὴν γὰρ ὑμῶν προστασίαν κεκτήμεθα.—ά. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.

Εἴσοδος· τὸ, Φῶς ἱλαρόν.

Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα δὲ ἔστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν, (εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτὴν) πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· οἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμοὶ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθὰ, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ὑμᾶς ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολρμῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν σοφῶν ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστραφήσεται. Ζυγὸς δόλιος βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ ἐστίν. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις ἐκεῖ καὶ ἀτιμία· σόμα δὲ σοφῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὤλυται ἐλπὶς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὤλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώπῳ, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. Ἦχος ά.

Πνευματικὴ πανήγυρις σήμερον ἀδελφοὶ, σκιρτάτω ἡ φύσις, χορευέτω ἡ ἀνθρωπότης· συνεκάλεσε γὰρ ἡμᾶς ὁ θαυμάσιος Σπυρίδων, τὸ θειότατον κειμήλιον τῶν Ἀρχιερέων, ὁ ποταμὸς τῶν θαυμάτων ὁ πλημμυρέστατος, τὸ κατοικητήριον τοῦ Ἁγίου Πνεύματος, ἡ ἀκένωτος τῶν ἰαμάτων καὶ ξένη θάλασσα· ὁ στερρότατος τῆς Ἐκκλησίας καὶ ἀκράδαντος πύργος· ἡ ὄντως κρηπὶς Ὁσίων, καὶ φωστὴρ Οἰκουμένης ὁ πολύφωτος· αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ὦ Θαύματος φρικτοῦ! ἡ νεκρὰ πυθομένῳ, φωνὴν ζῶσάν σοι δέδωκεν· ὁ ῥοῦς δὲ τοῦ ποταμοῦ ἀνεστάλη, διὰ λόγου σου προστακτικοῦ· ἡ τοῦ Ἄνακτος νόσος εὐχῇ σου φυγαδεύεται· ὁ ὄφις εἰς εἶδος χρυσοῦ ἀντιμετηλλάττετο· νεκροὶ ἐξηγέρθησαν· ἐνεργεῖ γὰρ ἐν σοὶ ὁ τῶν ἁπάντων Ἱεράρχης Χριστὸς ὁ Θεὸς ἡμῶν, Σπυρίδων Ἱεράρχα σοφὲ, ὁ τῆς Τριάδος τὸ δόγμα ἀνακηρύξας τρανῶς.

Ὁ αὐτός.

Τίς μὴ θαυμάσῃ τῶν σῶν θαυμάτων, Ἱεράρχα Σπυρίδων, τὸ ἀκένωτον πέλαγος; ὄμβρον γὰρ ἐξ Οὐρανοῦ προσευχῇ σου κατήγαγες, καὶ τὰς αὐχμώσας ἀρούρας ἐμέθυσας, καὶ λιμὸν διέλυσας, ὦ τοῦ θαύματος! νεκρὰν ἐξανέστησας ζωοποιῷ σου προσφθέγματι· ὄφιν εἰς χρυσὸν μετέβαλες· ἐξαίσια καὶ ἄπειρα ὄντως ὑπάρχει σου τὰ θαυμάσια. Οὕτως οἶδε δοξάζειν Θεὸς τοὺς αὐτὸν δοξάζοντας, ἡμεῖς δὲ περικυκλοῦντες τὴν τιμίαν σου Σορὸν, καὶ κατασπαζόμενοι ταύτην ἀναξίοις χείλεσι, ῥῶσιν ψυχῶν τε καὶ σωμάτων λαμβάνομεν, μεγαλύνοντες τὸν σὲ δοξάσαντα Κύριον, ὃν παρρησίᾳ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ὅσιε Πάτερ, Ἱεράρχα ἀοίδιμε, Ἀποστολικῆς διδασκαλίας, γενόμενος ἔμπλεως, καὶ τοῦ Θείου Πνεύματος καταγώγιον, δι' ἐναρέτου πολιτείας ἀναδειχθεὶς, τῆς Ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας, καὶ τὴν ὀρθόδοξον πίστιν σαφῶς τρανώσας, στύλος ἀναδείκνυσαι, καὶ εὐσεβείας πρόμαχος. Ὅθεν καὶ θαυματουργῶν ἐν τοῖς πέρασιν, ὄφιν εἰς χρυσοῦν μετέβαλες, καὶ νεκρὰν πρὸς ἐρώτησιν ἤγειρας. Ἀλλ' ὦ Πατέρων ἐγκαλλώπισμα, καὶ Διδασκάλων συνόμιλε, τῷ Σωτῆρι πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

'Ο Αὐτός.

Πανήγυρις φαιδρὰ, Ἱερὰ πανδαισία· δεῦτε πιστοὶ μεθέξωμεν· Σπυρίδων γὰρ ἡμᾶς συγκαλεῖται, ἐστιάτωρ ὢν πνευματικὸς, οὗ ἡ τράπεζα θεία, ἡδέα τὰ θαύματα, αἱ πράξεις ἀθάνατοι· αὐτοῦ μιμησώμεθα, τὸ πρᾶον, τὸ ἄκακον, τὸ ἁπλοῦν, τὸ φιλάνθρωπον, τὸ περὶ πάντα σοφὸν ἐφ' οἷς ἐν Ἀρχιερεῦσιν, ὡς φῶς ἐξέλαμψεν.

'Ο Αὐτός.

Τῷ θείῳ φωτὶ καταυγασθεὶς τὴν καρδίαν, καὶ νοῦν ἐλλαμφθεὶς, τοῖς ἐπὶ γῆς ὡς Ἄγγελος Σπυρίδων πᾶσιν ἀνεδείχθης, πρᾶός τε καὶ ἀκέραιος, ὅλος κατηγλαϊσμένος τῇ χάριτι τοῦ Χριστοῦ. Ὅθεν πιστοῖς ἀύλως χορηγεῖς, σωμάτων ἱερὰν τρυφὴν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

'Ο αὐτός.

Ὡς συμπαθὴς καὶ πρᾶος ἐφάνης ἐν τῷ Κόσμῳ, καὶ Χριστοῦ δοῦλος γνήσιος· καὶ θαυμάτων χάριν ἀφθόνως παρέχεις, ἐν τῇ σεπτῇ καὶ φαιδρᾷ κοιμήσει σου Πάτερ, δόξα τῶν Ἀρχιερέων Σπυρίδων Ἱερουργὲ, στίφη δαιμόνων ἀφανίζων, καὶ νόσους ἀπελαύνων πάντοτε, παναοίδιμε Ἱεράρχα, θεσπέσιε σημειοφόρε, Φωστὴρ τῶν πιστῶν διαυγέστατε, Ἐκκλησίας τὸ στήριγμα, φωτὸς δοχεῖον καὶ παράκλησις τῶν πιστῶν.

'Ο αὐτός.

Ἀρετῶν εἰς μέγιστον καὶ αἰθέριον ὕψος, ἀναβὰς Θεοφόρε, τὴν σύμπασαν φωτίζεις ταῖς τῶν θαυμάτων ἀστραπαῖς, ἀπαθείας λάμπων χαρίσμασιν, ἁπλότητος αἴγλῃ, Σπυρίδων ἱερέ· διὸ πάντες πίστει καὶ πόθῳ συνελθόντες, καὶ κατασπάζόμενοι τὸ πάνσεπτόν σου Σκῆνος, προσφωνοῦμέν σοι ταῦτα· Χαῖρε στῦλε Οὐράνιε, τῶν θλιβομένων παραμυθία· Χαῖρε στήλη τῶν ἀρετῶν· Χαῖρε ἀδιάσειστε πύργε δογμάτων τῆς Πίστεως, ἐν σοὶ ἅπαν χάρισμα τοῦ Πνεύματος πεφανέρωται, Ἱεράρχα πιστῶν ὁ προστάτης, καὶ τῶν ἐν νόσοις ἑτοιμότατος θεραπευτής· Χαῖρε τῆς ἐπουρανίου Ἱεραρχίας κανών

Δόξα, Ἦχος πλ β'.

Ὅσιε Πάτερ, σὺ ἐν ἀρεταῖς διαλάμψας τῷ Χριστῷ εὐηρέστησας· πρότερον μὲν κατὰ τῶν παθῶν ἀνδρισάμενος, τὴν ψυχὴν καὶ τὸ σῶμα ἡγίασας· ὕστερον δὲ τῆς Ἐκκλησίας ταραττομένης ὑπὸ τοῦ Χριστομάχου Ἀρείου, τὴν Σύνοδον συνηγόρησας· τὰς αἱρέσεις ἐλεινου, καὶ τὸν αὐτοῦ ὁμόφρονα ληρώδη φιλόσαφον, γενναίως κατέβαλες· ὑποδείξας δὲ καὶ τὸ Τρισήλιον τῆς Θεαρχίας Κράτος. Ἄλλος Ἥλιος ὤφθης ἐν μέσῳ τῆς ἱερᾶς ἐκείνης Συνάξεως· διὸ συνελθόντες, ἀγιώτατε πάτερ Σπυρίδων σοφὲ, πόθῳ τὴν θείαν περικυκλοῦμέν σου Λάρνακα, καὶ τὸ ἱερὸν καὶ ἅγιον Σῶμά σου περιχαρῶς ἀσπαζόμενοι, ῥῶσιν ψυχῶν τε καὶ σωμάτων λαμβάνομεν, μεγαλύνοντες τὸν σὲ δοξάσαντα Κύριον· ὃν παῤῥησίᾳ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. 'Ο αὐτός.

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει Ἔμβρυον φέρουσα Χριστόν, Φάτνῃ δὲ ὑποδέχου τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγε-

νεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν· καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν τῷ Βασιλεῖ προσάξατε, ὅτι ὤφθη Κύριος ἐκ Παρθένου μητρός, ὃν περ καὶ κύψασα δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός;

Εἰς τὸν Στίχ. Ἦχος πλ. ά. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Ἀρχιερέων κανών, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα· τὸ κλέος τῶν ὀρθοδόξων, ἡ τῶν θαυμάτων πηγή, ἰαμάτων ῥεῖθρον μὴ κενούμενον· Φωστὴρ ὁ πολύφωτος, τὸ τοῦ Πνεύματος ὄργανον· ὁ νοῦς ὁ Θεῖος, ὁ πραὺς καὶ ἀκέραιος, ὁ ἁπλότητι ἀληθῆ καλλυνόμενος. Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, τοῦ Ἀμπελῶνος ἐργάτα, ὁ τοῦ Χριστοῦ δοῦλος γνήσιος· αὐτὸν ἐκδυσώπει, παρασχεῖν τοῖς σὲ τιμῶσι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Πρᾶος καὶ κληρονόμος τῆς γῆς, σὺ τῶν πραέων ἀληθῶς ἀναδέδειξαι, Σπυρίδων Πατέρων δόξα, ὁ ταῖς νευραῖς τῶν σοφῶν, καὶ ἁπλῶν σου λόγων, θείᾳ χάριτι, ἐχθρὸν τὸν παμπόνηρον, καὶ παράφρονα Ἄρειον καταπατήσας· καὶ τὸ δόγμα τὸ ἔνθεον, καὶ σωτήριον ἀνυψώσας τῷ πνεύματι· πάντας τοὺς ὀρθοδόξους τε, φωτίσας λαμπρότητι, ἕνα δοξάζειν τὸν Λόγον, ὡς ἀληθῶς ὁμοούσιον, Πατρὶ προανάρχῳ, παρεχόμενον τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Πάθη ἀπονεκρώσας σαρκός, νεκροὺς ἐν χάριτι Θεοῦ ἐξανέστησας· καὶ ὄφιν χρυσοῦν εἰργάσω· καὶ ποταμοῦ τὰς ὁρμὰς, πρεσβεύσῃ σου Πάτερ ἐχαλίνωτας· νυκτὸς Βασιλεῖ τε, ἐπιφανεὶς κινδυνεύοντι, τοῦτον ἔσωσα, τῇ καθ' ὑπαρ ἐγγύτητι, τοῦ Κυρίου σε παραδόξως δοξάζοντος. Ὅθεν μεγαλοφώνως σου, τὴν μνήμην γεραίρομεν, καὶ τῶν Λειψάνων Σπυρίδων, τὴν ἱερὰν Σορὸν σέβομεν, ἐξ ἧς ἀναβλύζεις, ἰαμάτων Θεῖα ῥεῖθρα καὶ μέγα ἔλεος.

Δόξα, Ἦχος β'.

Ἱεραρχῶν τὸ Θεῖον κειμήλιον, Πάτερ Ὅσιε, Σπυρίδων σοφὲ, σὺ ἐν ἀρεταῖς ἀναδέδειξαι· ὅθεν τῆς Ἐκκλησίας προίστωρ γενόμενος, αἱρεσιάρχας ἐξώθησας, καὶ τοῦ Ἀρείου τὸ βλάσφημον, συνοδικῶς εἰς γῆν κατηδάφισας· διὸ θαυματουργῶν ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. Ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας· ὅτι ἔρχεται Χριστὸς, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος δ.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος,

καὶ θαυματουργῶν λόγῳ μόνῳ ποταμοὺς ἀνεχαίτισας, Σπυρίδων μακάριε σοφέ· ὅθεν νεκρὰ σοὶ ἐκ τάφου προσφωνεῖ· καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχάς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι, Ἱερώτατε· Δόξα τῷ δεδοκότι σοι ἰσχύν· Δόξα τῷ σὲ στεφανώσαντι· Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ τοιαῦτα τέρατα.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου. Καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τάξις Συνόδου τῆς Πρώτης

Δόξα, τὸ αὐτό,

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου.

Μετὰ τὴν ά. Στιχολογίαν Καθίσματα Ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Ἐνίσχυσε σαφῶς, ἐντελὴς ἐν σοὶ χάρις. Ἐκήρυξας λαμπρῶς, τὸν ἐν σοὶ Θεὸν ὄντα· διὸ καὶ καθ' ὁμοίωσιν γεγενῆσθαί σε ἔγνωμεν, πρᾶον ἄκακον, καὶ κατὰ χάριν οἰκεῖον, τοῦ Θεοῦ ἡμῶν, θεῖε Σπυρίδων παμμάκαρ, ποιμένων πανάριστε.

Δόξα.

Σπυρίδων ὁμιλεῖς, τῇ νεκρᾷ ὥσπερ ζώσῃ, καὶ ὄφιν εἰς χρυσοῦν, μεταβάλλεις καὶ πάλιν, Ἡλίου κατάφλεξιν ἐν καιρῷ θέρους ἔλυσας, μεταθέμενος εἰς ὁρ-

σισμὸν τὸ καυσῶδες, καταψύχον σου τὴν κεφαλὴν Ἱεράρχα, ὦ χάρις τοῦ Πνεύματος.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β΄. στιχολογίαν Καθίσματα Ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον

Πᾶσαν τέρψιν τοῦ βίου καταλιπὼν, καὶ τὸν νοῦν ἀνυψώσας ταῖς ἀρεταῖς, τὸ ἄκρον ἐζήτησας, ἐφετῶν πανοσίδιμε· τοῦ δὲ Θείου Πνεύματος δοχεῖον γενόμενος, τὰς ἐλλάμψεις τούτου εἰσδέδεξαι ὅσιε· ὅθεν καὶ τὴν χάριν, τῶν θαυμάτων πλουτήσας, παρέχεις τὴν ἴασιν, Ἱεράρχα ἑκάστοτε, τοῖς πιστῶς σοι προστρέχουσι· πρεσβεύων Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα,

Ἀβραὰμ τὸ φιλόξενον εἰληφὼς, Ἰακὼβ τε τὸ ἄκακον ἐσχηκὼς, καὶ Ἰὼβ τὸ ἄμεμπτον, Μωϋσέως τὸ ἄπλαστον, Δαυῒδ ὁμοῦ τὸ πρᾶον, ἀξίως τοῦ Πνεύματος ἀνεδείχθης Σπυρίδων, δοχεῖον πανθαύμαστον· ὅθεν ὡς Ἠλίας, γῇ κατήγαγες ὄμβρους, ποταμῶν τε ῥεύματα, Ἐλισσαίου τῇ χάριτι, Ἱεράρχα διέστησας· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον ποιήσαντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ Πλάστην τῆς κτίσεως· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει δοξάζω σε, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω περίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε Ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις πανύμνητε.

Μετὰ τὸν Πολυέλαιον, Καθίσματα Ἦχος γ'.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

Ὄφιν μετέβαλες, εἰς χρυσὸν Ἅγιε, καὶ ταῖς τῶν λόγων σου, νευραῖς ἀπέπνιξας, τὸν δυσσεβῆ καὶ πονηρὸν, Ἄρειον Θεοφόρε· βασιλεῖ δὲ γέγονας, ἰατρὸς πανσοφώτατε, καὶ νεκροὺς ἐξήγειρας, δαίμονάς τε ἀπήλασας, διόσου συνελθόντες, ὑμνοῦμεν Ἱεράρχα τὴν Θείαν Κοίμησιν.

Δόξα, Τὴν Σοφίαν καὶ Λόγον

Βασιλεῦσι καὶ νύσταις θεοπρεπῶς, ἐν συλλόγῳ πανσέπτῳ φιλοσοφῶν, τρανῶς διεσάφησας, ἐν τρισὶν ὑποστάσεσιν, ἕνα Θεὸν λατρεύειν, ὁμότιμον σύνθρονον, καὶ ἐν μιᾷ οὐσίᾳ, σεπτῶς ἐδογμάτισας· ὅθεν ὑπὲρ λόγον, κατ' ἐπίνοιαν Θείαν, καθεῖλες τὸν φλύαρον, τῇ

δυνάμει τοῦ Πνεύματος, Ἱεράρχα Θεσπέσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Χορὸς Θεοτόκε τῶν Προφητῶν, σὲ προήγγειλε πάλαι σκιογραφῶς, παλάτιον ἔμψυχον, καὶ πυρίμορφον ὄχημα· καὶ κιβωτὸν καὶ στάμνον, Παρθένε χρυσόμορφον· καὶ φαεινὴν λυχνίαν, καὶ ὄρος κατάσκιον· πύλην κεκλεισμένην, καὶ λαβίδα καὶ τόμον, καὶ κλίνην πορφυρόχρυσον· χρυσοπόρφυρον θάλαμον, καὶ νεφέλην ὁλόφωτον. Δέσποινα ἡμεῖς δὲ ἀεὶ, χείλεσι καὶ καρδίᾳ πιστῶς ἀνυμνοῦμέν σε, ὡς Θεοτόκον πανάχραντον.

Οἱ Ἀναβαθμοί. τὸ ά. Ἀντίφωνον τοῦ δ'. Ἦχου.
Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν.
Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.
Τὸ, Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Ἰωάννην. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας.

Δόξα,

Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις,

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β'.
Ἐλεήμων ἐλέησόν με ὁ Θεός.

Πατέρων ἀγλάϊσμα, Σπυρίδων σοφὲ καὶ ἀκροθήνιον, τῇ τῶν θαυμάτων σου αἴγλῃ τῆς Οἰκουμένης φωτίζων τὰ πέρατα, καὶ τῆς Ἀρείου λύσσης καθαιρέτης φανείς, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν·

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. Καὶ τὰ ἑξῆς.

Οἱ Κανόνες τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς'.
Καὶ τοῦ Ἁγίου οἱ δύο εἰς ή.
Ὁ Κανὼν τῆς Θεοτόκου. Οὗ ἡ Ἀκροστιχίς.
«Ἄδω τὸν αἶνον τῇ φερεσβίῳ Κόρῃ.»

Πλὴν τῶν ἐσχάτων Τροπαρίων τοῦ αὐτοῦ Κανόνος.
Ὠδὴ ά. Ἦχος β'. Ὁ Εἱρμός. Δίς.

Ἄτριπτον ἀσυνήθη, ἀβρόχως θαλαττίαν ἀνύσας τρίβον, ὁ παλαιὸς ἐβόα Ἰσραήλ· τῷ Κυρίῳ ἄσωμεν, ὅτι δεδόξασται.

Στίχ. Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Αὔλος πάλαι κλίμαξ, καὶ ξένως χερσωθεῖσα ὁδὸς θαλάσσης, τὴν σὴν ἐδήλου γέννησιν Ἁγνή· ἣν ὑμνοῦμεν ἅπαντες, ὅτι δεδόξασται.

Στίχ. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι.

Δύναμις τοῦ ὑψίστου, ὑπόστασις τελείᾳ Θεοῦ σοφία, σωματωθεῖσα Ἄχραντε ἐκ σοῦ, τοῖς βροτοῖς ὡμίλησεν, ὅτι δεδόξασται.

Στίχ. Κύριος συντρίβων πολέμους.

Ὠδευσε διὰ πύλης, ἀβάτου κεκλεισμένης τῆς σῆς νηδύος, δικαιοσύνης Ἥλιος Ἁγνή· καὶ τῷ Κόσμῳ ἔλαμψεν, ὅτι δεδόξασται.

Στίχ. Πόντῳ ἐκάλυψεν αὐτούς.

Τάγματα τῶν Ἀγγέλων, τῷ Τόκῳ σου, Παρθένε τῷ ὑπὲρ φύσιν, ὑπηρετοῦσι χαίροντα Σεμνή· τὸν γὰρ τούτων τέτοκας Κτίστην καὶ Κύριον.

Ὁ Κανὼν τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός. Εἱρμὸς ἄλλος.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Στίχ. Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ.

Τὴν πραέων γῆν καταλαβών, Πάτερ ὡς πρᾳότατος, καὶ συμπαθὴς καὶ καθαρὸς γενόμενος, τὸν ἐπανιστάμενον τῇ καρδίᾳ μου καταπράϋνον κλύδωνα, ὅπως ἐν γαλήνῃ, θεία γεγονὼς ὑμνολογήσω σε.

Στίχ. Ἐπιπέσοι ἐπ' αὐτούς φόβος καὶ τρόμος.

Γεωργίαις θείαις τὴν ψυχὴν, Πάτερ καθηράμενος, Θεοειδὴς Σπυρίδων ἐχρημάτισας, καὶ τοῦ Θείου Πνεύματος, τὴν ὑπέρλαμπρον κατεπλούτησας ἔλλαμψιν· ὅθεν καταυγάζεις, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Στίχ. Ἕως ἂν παρέλθῃ ὁ λαός σου Κύριε.

Ἐκ ποιμνίων ὥσπερ τὸν Δαυΐδ, σὲ ἀναλαβόμενος, ὁ πλαστουργὸς λογικῆς ποίμνης ἔθετο, ποιμένα πανάριστον, τῇ ἁπλότητι καὶ πραότητι λάμποντα, καὶ τῇ ἀκακίᾳ, Ὅσιε ποιμὴν καλλωπιζόμενον.

Θεοτοκίον.

Στίχ. Ὃ κατειργάσω Κύριε ἁγίασμα.

Παναγία ἄχραντε Ἁγνὴ, δέομαί σου φώτισον, τὸν λογισμὸν καὶ τὴν ψυχήν μου πάναγνε, τὰ νέφη σκεδάζουσα τῆς ἀγνοίας μου, καὶ τοῦ σκότους ἐξαίρουσα, τοῦ τῆς ἁμαρτίας, ὅπως κατὰ χρέος μακαρίζω σε.

ΕΘΝΙΚΟΝ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΝΤΟΡΗΣ ΠΑΠΑΔΑΤΟΥ

Ἕτερος Κανὼν τοῦ Ἁγίου. Ἦχος ά. Χριστὸς γεννᾶται.

Στίχ. Κύριος βασιλεύων τῶν αἰώνων.

Χριστὸς ποιμένα σε Ὅσιε, γαστρὸς ἐκ μητρικῆς ἐξελέξατο, πρᾶον ἱερὸν καὶ σώφρονα, Κήρυκά τε δογμάτων, καὶ λειτουργὸν, Πάτερ Ἐκκλησίας, καὶ δοχεῖον χαρισμάτων τῶν τοῦ Πνεύματος.

Στίχ. Οἱ δὲ Υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν.

Σαρκὸς νεκρώσας τὸ φρόνημα, ψυχῆς δὲ προκαθάρας τὰ ὄμματα, ὅλον σεαυτὸν τοῦ Πνεύματος, Ὅσιε ἀπειργάσω θεῖον Ναὸν, λογικαῖς θυσίαις, καθαρῶς ἱερατεύων Παμμακάριστε.

Δόξα,

Διψῶσαν Κύπρου τὴν γῆν κατιδὼν, τὸν Θεσβίτην Ἠλίαν μιμούμενος, σοῦ τῇ προσευχῇ κατήγαγες, Ὅσιε οὐρανόθεν ὄμβρων πληθύν· καὶ γὰρ εἰσακούει, τῆς δεήσεως Χριστὸς τῶν θεραπόντων αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Χρυσῆν σε στάμνον καὶ τράπεζαν, λυχνίαν φωτεινὴν καὶ κατάσκιον, ὄρος καὶ πηγὴν θεόβρυτον, κλίμακά τε καὶ πύλην Θείας ζωῆς, κεχαριτωμένη, Θεοτόκε ὑπερένδοξε κηρύττομεν.

Καταβασία.

»Χριστὸς γεννᾶται δοξάσατε, Χριστὸς ἐξ Οὐρανῶν »ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς ὑψώθητε. Ἄσατε τῷ

»Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε »λαοὶ, ὅτι δεδόξασται.»

Ὠδὴ γ'. Ὁ Εἱρμός. Δίς.

»Τόξον συνετρίβη Δυναστῶν, τῷ κράτει σου Χριστὲ, »καὶ δύναμιν ἀσθενεῖς, σὲ περιεζώσαντο.»

Στίχ. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ.

Τὸν φύσει ἀχώρητον παντὶ, ἐχώρησας Θεὸν, καὶ τέτοκας ὑπὲρ νοῦν, Κόρη τὸν ὑπέρχρονον.

Στίχ. Ὅτι οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος.

Ὁ Χρόνου ἐπέκεινα παντὸς, ὡς χρόνων Ποιητὴς, ἐκ σοῦ Παρθένε ἐκὼν, βρέφος πεπλαστούργηται.

Στίχ. Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλά.

Νηδὺν πλατυτέραν Οὐρανῶν, ὑμνήσωμεν πιστοὶ, δι' ἧς Ἀδὰμ ἐν τοῖς Οὐρανοῖς, χαίρων πεπολίτευται.

Στίχ. Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεός.

Ἀρχὴν ὑπὸ χρόνων εἰληφὼς, πιστεύεται ἐκ σοῦ, ὁ χρόνων Δημιουργὸς, Μήτηρ Ἀειπάρθενε.

Ἄλλος. Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας.

Στίχ. Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησιν.

Τὸν νοῦν σου ἀπαθείᾳ καταλαμπρύνας, καὶ θείᾳ ταπεινώσει καθωραΐσας, χαρίσματα τοῦ Πνεύματος ὑπεδέξω, διώκειν πνεύματα, λύειν νοσήματα, τῶν πιστῶς τιμώντων σε Ἱερώτατε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

Στίχ. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ

Τὸν ὄφιν τὸν ἀρχέκακον ἀποκτείνας, τὸν τρόπον τὸν φιλάργυρον συμπατήσας, οἰκτείρων τὸν δεόμενον Ἱεράρχα, ὄφιν μετέβαλες, χρυσοῦν εἰς κόσμιον, ἱεραῖς ἐντεύξεσι Πάτερ Ὅσιε.

Στίχ. Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ.

Ἀνῆλθες πρὸς τὸ ὄρος τῆς ἀπαθείας, εἰσέδυς εἰς τὸν γνόφον τῆς θεωρίας· πλαξὶ δὲ τῆς καρδίας σου εἰσεδέξω, νόμον σωτήριον, ὡς ἱερώτατος, καὶ θεράπων γνήσιος τοῦ Δεσπότου σου.

Στίχ. Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος.

Θεράπευσον τὰ τραύματα τῆς ψυχῆς μου· τὸν νοῦν μου σκοτιζόμενον ἀμελείᾳ, Θεόνυμφε καταύγασον, ἵνα ψάλλω· οὐκ ἔστιν ἄμεμπτος, ὡς σὺ πανάμωμε, καὶ οὐκ ἔστιν ἄχραντος πλὴν σου Δέσποινα.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Στίχ. Κύριος ἀνέβη εἰς Οὐρανοὺς καὶ ἐβρόντησεν.

Τῷ ἐκ τοῦ ποιμνίου, τῶν προβάτων τὸν μέγαν Σπυρίδωνα, ἀναλαβόντι τοῦ ποιμαίνειν, τὴν αὐτοῦ Ἐκκλησίαν, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν. Ἅγιος εἶ Κύριε.

Στίχ. Καὶ δώσει ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν.

Ὁ ἐπερωτήσας, τὴν νεκρὰν ὥσπερ ζῶσαν Σπυρίδων σοφὲ, καὶ ἀποδοὺς τὴν παρακαταθήκην, γυναικὶ τῇ

αἰτούσῃ, ταῖς σαῖς ἱεραῖς δεήσεσι, καταπεμφθῆναι τὸ μέγα ἡμῖν, ἔλεος ἱκέτευε.

Δόξα,

Τὴν πανευκλεῆ σου, καὶ πανίερον μνήμην Μακάριε, Θεοπρεπῶς πάντες ὑμνοῦμεν, μελῳδοῦντες συμφώνως, Χριστῷ τῷ Θεῷ καὶ λέγοντες· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Καὶ νῦν· Θεοτοκίον.

Τῷ ἐκ τῆς Παρθένου, σαρκωθέντι ἀσπόρως βουλήσει Υἱῷ, καὶ τὴν τεκοῦσαν μετὰ τόκον θείᾳ δυναστείᾳ, Ἁγνὴν Παρθένον φυλάξαντι. Τῷ ἐπὶ πάντων βοῶμεν Θεῷ, Ἅγιος εἶ Κύριε.

Καταβασία.

»Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρ»ρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρ»κωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀ»νυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.»

Κάθισμα· Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐκ ποιμνίων προβάτων τὴν τοῦ Χριστοῦ, Ἐκκλησίαν ποιμαίνειν προχειρισθεὶς, Ποιμὴν θεοπρόβλητος, ὦ Σπυρίδων ἀνέλαμψας· κακοδοξίας λύκους, ἐλάσας τοῖς λόγοις σου, εὐσεβείας πόᾳ, πιστοὺς ἐκτρεφόμενος. Ὅθεν ἀναμέσον, Θεοφόρων Πατέρων, τὴν Πίστιν ἐκράτυνας, τῇ σοφίᾳ τοῦ Πνεύματος, Ἱεράρχα μακάριε· πρέσ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

βευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα,

Ὡς καὶ ζῶν καὶ θανὼν περ τερατουργῶν, καταπλήττων οὐ παύῃ τὸν σὸν λαόν, πηγὴ θαυματόβρυτος, ἀνεδείχθης Μακάριε· αὐχμοὺς καὶ γὰρ λιμώδεις, λοιμούς τε διέλυσας, καὶ τὸν ξηρὸν χαλκέα πιστῶς σοι προστρέξαντα· τρεῖς τε τυφλοὺς πάμπαν, ἐλυτρώσω τοῦ πάθους· πεσόντας ἐκ πύργου τε, ὑψορρόφου ἀκρότητος, κεραυνοῦ, βίᾳ ἔσωσας· ἅπαντας ἐκπλήττει Σοφὲ, τῶν θαυμάτων τὸ ἄπειρον πέλαγος· διὰ τοῦτό σου πόθῳ τὴν μνήμην γεραίρομεν.

Καὶ νῦν. Θεοτόκιον.

Ὡς πανάμωμος Νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα τοῦ Ὑψίστου πανύμνητε, ἀνομιῶν με ὄντα αἰσχρὸν καταγώγιον, καὶ ἐν γνώσει γενόμενον τοῖς δαίμοσι παίγνιον· σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν, οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα, Φωτοδόχε ἀκήρατε· δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω λαμπρότητος ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείας σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός. Δὶς.

» Ἀκήκοα Κύριε, τὴν ἔνδοξόν σου οἰκονομίαν· καὶ » ἐδόξασα φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν. »

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἀγγέλων εὐπρέπεια, καὶ τῶν ἀνθρώπων σθένος καὶ

δόξα, Παναγία μόνη πέφυκας, τὸν Ποιητὴν τεκοῦσα καὶ Θεὸν ἡμῶν.

Στίχ. Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου.

Ἰδοὺ ὑπερύψωται, τὸ θεῖον ὄρος οἴκῳ Κυρίου, ὑπὲρ ἄνω τῶν δυνάμεων, ἡ Θεομήτωρ ἐμφανέστατα.

Στίχ. Ὁ Θεὸς ἀπὸ θαιμὰν ἥξει.

Νομίμων τῆς φύσεως, Παρθένε ἄτερ μόνη τεκοῦσα, τὸν δεσπόζοντα τῆς Κτίσεως, κατηξιώθης θείας κλήσεως.

Στίχ. Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ.

Νοήσας σε πόρρωθεν, Θεὸν Παρθένε σεσαρκωμένον, ἐν ἀγγάλαις σου βαστάσασαν, ὁ Ἡσαΐας προκατήγγειλε.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου.

Στίχ. Διότι συχὴ οὐ καρποφορήσει.

Τοῖς ἄνθραξι, τοῦ σεπτοῦ ἀναπτόμενος Πνεύματος, παθῶν εὐκατάπρηστον, ὕλην παμμάκαρ ἐνέπρησας· κόσμον δὲ πυρσεύμασι, τῶν ἀρετῶν σου Σπυρίδων κατελάμπρυνας.

Στίχ. Ψεύσεται ἔργον ἐλαίας.

Νεκρώσας σου, τῆς σαρκὸς τὰς κινήσεις Θεόπνευστε, νεκροὺς ἐξανέστησας ζωοποιῷ σου προσρήματι· ὅθεν ἱκετεύω σε, τὴν νεκρωθεῖσαν ψυχήν μου Πάτερ ζώωσον.

Στίχ. Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα.

Πυθομένῳ, ἡ νεκρά σοι φωνὴν Πάτερ δέδωκε· πο-

τάμια ρεύματα σαῖς ἐπεσχέθη προστάξεσιν· ὤφθης γὰρ μακάριε, τερατουργὸς θείαν χάριν κομισάμενος.

Θεοτοκίον.

Στίχ. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι.

Προφῆταί σου, μυστηρίου τὸ βάθος προήγγειλαν, τὸ ἀκατανόητον· μόνη γὰρ ἔτεκες Ἄχραντε, τὸν ἀπερινόητον, σεσαρκωμένον δι' οἰκτον ἀδιήγητον.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Στίχ. Κύριος ὁ Θεός μου δυνάμις μου.

Ῥάβδον σε κατέχοντα χειρὶ, καὶ σχῆμα ἱερώτατον, ἐστολισμένος θεῖος Ἄγγελος, κατ' ὄναρ ἐπιφανείς, Βασιλεῖ δεικνύει σε, ἰατρὸν αὐτοῦ Θεῖον τοῦ πάθους· ὁ δὲ ἐβόα πιστῶς· δόξα τῇ δυνάμει σου Κύριε.

Στίχ. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με.

Δεσπότην μιμούμενος τὸν σὸν, καὶ πάντων ἰατρὸν Χριστὸν, τὸν Βασιλέα ἐθεράπευσας, Σπυρίδων τερατουργέ· θεϊκοῖς τε δόγμασι, τοῦτον εὐσεβῶς εἰς θεῖον ζῆλον, καὶ πίστιν θεοπρεπῆ, Μάκαρ εὐθυβόλως διήγειρας.

Δόξα,

Ῥήσεις ἐντολῶν τῶν Θεϊκῶν, φυλάττων παμμακάριστε, τοῦ Βασιλέως διεσκόρπισας, μεγάλας σὺ δωρεὰς, καὶ τοῖς πᾶσι δέδωκας, χρυσὸν ἐπὶ γῆς Σπυρίδων μάκαρ· ἐκτήσω γὰρ οὐδαμῶς, ὅλβον θησαυρίζων τὸν ἄσυλον.

Καὶ νῦν. Θεοτοκίον.

Σὺ σκηνὴ τοῦ Λόγου καὶ λαμπὰς, Παρθένε ἀληθῶς φωτὸς, τοῦ ἀνεσπέρου ἀναδέδειξαι· διό σε πάντες πιστοὶ, θερμῶς ἱκετεύομεν, ῥῆξαι τοῦ ἐχθροῦ σὺ τὰς ἐνέδρας, ἃς καθ' ἡμῶν μελετᾷ, Κόρη τὸν Υἱόν σου δυσώπησον.

Καταβασία.

»Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς »Χριστὲ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας· ἐξ ὄρους »ὁ αἰνετὸς, κατασκίου δασέως, ἦλθε σαρκωθεὶς ἐξ »ἀπεράνδρου, ὁ ἄϋλος καὶ Θεός· δόξα τῇ δυνάμει »σου Κύριε.

Ὠδὴ, ε'. Ὁ Εἱρμός. Δὶς.

»Ὁ ἀνθραξ τῷ Ἡσαΐᾳ προοφθεὶς Ἵλιος, Παρθενι»κῆς ἀπὸ γαστρὸς ἀνέτειλε, τοῖς ἐν σκότει πεπλανημένοις, Θεογνωσίας φωτισμὸν δωρούμενος.

Στίχ. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου.

Ὁ πάντων βασιλευόντων Βασιλεὺς Κύριος, σὲ τὴν ἁγνὴν πάντων πιστῶν Βασίλισσαν, ὡς Μητέρα ὑπερυψώσας, καὶ τῶν Ἀγγέλων ὑπερτέραν ἔδειξε.

Στίχ. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Νεφέλαι τῆς εὐφροσύνης γλυκασμὸν ῥάνατε, τοῖς ἐπὶ γῆς, ὅτι παιδίον δέδοται, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν.

ΕΛΛΗΝΙΚΟΝ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΝΑΓΙΩΤΗΣ ΚΑΙ ΜΑΡΙΑΝΝΑ ΒΑΤΟΠΕΔΙΟΥ

Στίχ. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ.

Τῷ βίῳ καὶ τὸ σαρκίῳ μου τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς σωματωθεὶς ὁ Ὕψιστος.

Στίχ. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον.

Χαράν σοι τὸ προπατόρων σκυθρωπὸν λύουσαν, ὁ Γαβριὴλ ὁ Ἱερὸς Ἀρχάγγελος, οὐρανόθεν καταφοιτήσας, εὐαγγελίζεται σεμνὴ Θεόνυμφε.

Ἄλλος. Ὁ φωτισμὸς, τῶν ἐν σκότει.

Στίχ. Πρόσθες αὐτοῖς κακὰ Κύριε.

Ὁ Ποταμὸς, τῶν ἐν σοὶ χαρισμάτων πᾶσαν ἀρδεύει, Ὅσιε καρδίαν πᾶσι δωρεῖται, ῥῶσιν πλουσίαν πάντας δ' ἐγείρει, πρὸς Θεοῦ δόξαν τοῦ σὲ δοξάσαντος, καὶ θαυματουργίαις παντοίαις πλουτίσαντος.

Στίχ. Κύριε ἐν θλίψει ἐμνήσθημέν σου.

Σὲ Βασιλεὺς, ὁ ἐπίγειος Μάκαρ τοῦ Βασιλέως, τοῦ ἐπουρανίου σαφῶς ἐπέγνω, γνήσιον δοῦλον, καὶ χαρίσματος θείου, πεπλησμένον ἐν τῷ παρεῖναί σε, μέγαν Ἰατρὸν πρὸς Θεοῦ μηνυόμενος.

Στίχ. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν.

Τοῦ Ἀβραὰμ, τὸν φιλόξενον τρόπον σὺ ἐμιμήσω, πᾶσι τῆς οἰκίας σου τὰς εἰσόδους, ἀναπετάσας καὶ τοῖς πᾶσι τὰ πάντα, χρηματίσας καὶ προμηθούμενος, τῶν ἐν περιστάσει Σπυρίδων μακάριε.

Θεοτοκίον.

Στίχ. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται.

Νέον ἡμῖν, ἀπεγέννησας Βρέφος τὸν πρὸ αἰώνων, Κόρη γεννηθέντα Πατρὸς ἀνάρχου· ὃν ἐκδυσώπει ὡς Υἱὸν καὶ Θεόν σου, οἰκτειρῆσαι τοὺς Θεοτόκον σε, Πάναγνε ψυχῇ καθαρᾷ καταγγέλλοντας.

Ἄλλος. Θεὸς ὢν εἰρήνης Πατήρ.

Στίχ. Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται.

Τὴν πίστιν ἐν μέσῳ Πατέρων πολλῶν, Ἱεράρχα Σπυρίδων ἐστήριξας, κηρύξας τὸ ὁμόθεον Τριάδος τῆς μιᾶς· διὸ καὶ ἐπαξίως, τιμᾷ ἡ Ἐκκλησία, τὴν πανίερον μνήμην, τῆς παναγίας σου κοιμήσεως.

Στίχ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἔστω.

Χριστοῦ ὢν καθάπαξ πιστὸς μαθητὴς, Ἱεράρχα Σπυρίδων ἀνέστησας, νεκροὺς τῇ προσευχῇ σου, καὶ παρέστησας ζῶντας· καὶ γὰρ ἰσχύειν πάντα, αὐτὸς δεδώρηταί σοι, ἐξ ἰδίας ἰσχύος, ὁ ταμιοῦχος τῆς ζωῆς ἡμῶν.

Δόξα,

Ἐλπίδος ἀγάπης καὶ πίστεως σὺ, ἰδιώματα Πάτερ κτησάμενος, πενήτων ἀντιλήπτωρ τε, νοσούντων ἰατρὸς, καὶ πάντων τῶν ἐν ζάλῃ, λιμὴν γαληνοφόρος, ἀνεδείχθης Θεόφρων, ἀξιοθαύμαστε πιστότατος.

Καὶ νῦν. Θεοτοκίον.

Ἁγίων Ἁγία Παρθένε ἁγνὴ, τῶν Ἁγίων τὸν Ἀ-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

γιον τέτοκας, τὸν πάντας ἁγιάζοντα Χριστὸν τὸν λυτρωτήν· διό σε Βασιλίδα, καὶ Δέσποιναν ἁπάντων, ὡς Μητέρα τοῦ Κτίστου, τῶν ποιημάτων καταγγέλλομεν.

Καταβασία.

»Θεὸς ὢν εἰρήνης Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης »βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον ἀ»πέστειλας ἡμῖν· ὅθεν Θεογνωσίας, πρὸς φῶς ὁδη»γηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε »Φιλάνθρωπε.

Ὠδὴ ς'. Ὁ Εἱρμός. Δίς.

»Ἦχου ῥημάτων δεήσεως, ἐκ κατωδύνου Δέσποτα »ψυχῆς, ἐπακούσας τῶν δεινῶν με λύτρωσαι· μόνος »γὰρ εἶ τῆς ἡμῶν σωτηρίας πρόξενος.

Στίχ. Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου.

Ἥλιον πᾶσιν ἐκύησας, δικαιοσύνης Δέσποινα Χριστὸν, τὸν ἡμᾶς ἐκ σκότους λυτρωσάμενον· ὅθεν σε νῦν ἀληθῆ Θεοτόκον σέβομεν.

Στίχ. Ἀπέρριψάς με.

Φύσις ἀνθρώπων δουλεύουσα, τῇ ἁμαρτίᾳ Δέσποινα Ἁγνὴ, διὰ σοῦ ἐλευθερίας ἔτυχε· σὸς γὰρ Υἱὸς ὡς ἀμνὸς ὑπὲρ πάντων τέθυται.

Στίχ. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου.

Ἐπιβοώμεθα πάντες, σὲ τὴν ἀληθῆ Μητέρα τοῦ

Θεοῦ, παροργίσαντας οἰκέτας λύτρωσαι· μόνη γὰρ πρὸς τὸν Υἱὸν, παῤῥησίαν κέκτησαι.

Στίχ. Ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναόν.

Ὤμοσεν ὥσπερ ὁ Κύριος, ἐν ἀληθείᾳ πάλαι τῷ Δαυῒδ, ἐκ γαστρὸς σε προελθὼν πεπλήρωκε· τέτοκας γὰρ τὸν τῆς γῆς Κόρη Βασιλεύοντα.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Στίχ. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου.

Ὡς πηλὸς ὁ χρυσός σοι λελόγισται, τῇ ὑπὲρ χρυσὸν ἀπαθείᾳ ἀστράπτοντι, καὶ πλουτισθέντι Ὅσιε, δωρεαῖς ταῖς παγχρύσοις τοῦ Πνεύματος.

Στίχ. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων.

Καθαρῶς λειτουργῶν τῷ Δεσπότῃ σου, πλῆθος εἶχες Ὅσιε καθυπακοῦόν σοι, Ἀγγελικῶν δυνάμεων, ἀοράτοις φωναῖς ἱερώτατε.

Στίχ. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου.

Ὁ περίδοξος Πάνσοφε βίος σου, κόσμῳ σε περίδοξον Πάτερ εἰργάσατο· διὸ τὴν θείαν μνήμην σου, γεγηθότες τελοῦμεν ὑμνοῦντές σε.

Θεοτοκίον.

Στίχ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου.

Οὐρανῶν πλατυτέρα ἡ μήτρα σου, γέγονε Πανά-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

μωμε Θεὸν χωρήσασα, τὸν μηδαμοῦ χωρούμενον, Παναγία Παρθένε Θεόνυμφε.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Στίχ. Φυλασσόμενοι μάταια καὶ ψευδῆ.

Ἄλλον Σαμουὴλ, ἡ χάρις σε ἔχρισε, Σπυρίδων σοφὲ ἱερατεύειν Θεῷ, καὶ προσήγαγες, ἀναιμάκτους θυσίας πανόλβιε· πιστεύων ἀληθῶς ὅτι ἐδείχθη σοι, ἄνω ἐν σκηναῖς Θεοῦ ἡμῶν, ἡ φρικτὴ λειτουργία καὶ ἄμωμος.

Στίχ. Ὅσα ηὐξάμην ἀποδώσω σοι.

Ῥάβδον Μωϋσῆς, εἰς ὄφιν μετέβαλε, προστάξει Θεοῦ πάλαι κινούμενος· σὺ δὲ Ὅσιε, εἰς χρυσὸν προσευχῇ σου μετέβαλες, τὸν ὄφιν Ἱεράρχα διὰ φίλον τὸν σόν· οὕτω θαυμαστὰ εἰργάσατο, διὰ σοῦ ὁ Θεὸς Πάτερ τέρατα.

Δόξα,

Ὡς Ἱεραρχῶν, κανὼν καὶ ἑδραίωμα, φωστὴρ Οἰκουμένης διαυγέστατε· πῦργε ἄσειστε, Ἐκκλησίας θεμέλιε ἄῤῥηκτε· τῶν θαυμάτων ποταμὸς ὁ ἀνεξάντλητος, ῥῦσαι σαῖς πρεσβείαις πάντοτε, πειρασμῶν τοὺς τιμῶντας τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Κόλπον οὐκ ἐκστὰς, ἀνάρχου Γεννήτορος, ἐν κόλποις ἀγνῆς Κόρης αὐλίζεται· καὶ καθίσταται, ὁ ἀμήτωρ ἀπάτωρ σαρκούμενος, ὁ τῆς δικαιοσύνης βασιλεύων Χριστός· τούτου ἀγεννεαλόγητος, ἡ φρικτὴ γενεὰ καὶ ἀπόῤῥητος.

Καταβασία.

»Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος »θὴρ οἷον ἐδέξατο· τῇ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λό»γος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθο»ρον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέ»σχεν ἀπήμαντον.»

Κοντάκιον. Ἦχος δ'.

Τὰ ἄνω ζητῶν

Τῷ πόθῳ τρωθεὶς Χριστοῦ Ἱερώτατε, τὸν νοῦν πτερωθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες Θεόπνευστε, θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Ὁ Οἶκος.

Τὸν ἐκ κοιλίας ἡγιασμένον Ἱεράρχην Κυρίου ἀνευφημήσωμεν νῦν Σπυρίδωνα· τὸν τῆς χάριτος πλάκας δεξάμενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον πᾶσι, καί ὡς θερμὸν καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως, ὡς τῶν πενήτων προστάτην, καὶ τῶν ἁμαρτανόντων ψυχαγωγόν· οὗτος γὰρ θύων τῷ βήματι τοῦ Χριστοῦ, Ἱεράρχης πιστὸς ἀναδέδεικται, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Ἕτερον Κοντάκιον.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἡ Κερκύρα σήμερον λαμπρὰ λαμπρῶς ἑορτάζει· σὺν

αὐτῇ δὲ ἅπασα ἡ Οἰκουμένη θαυμάζει· Λάρνακα θαυματοφόρον ἐγκωμιάζει· ταύτῃ δὲ φυλαττομένη φαιδρῶς κραυγάζει· Χαίροις φύλαξ ὁ τῆς νήσου, Σπυρίδων, ταύτης ὁμοῦ, καὶ πρόμαχος.

Ὁ Οἶκος.

Τὸ τοῦ νοός μου νεκρὸν, καὶ ἀκίνητον, ζώωσον Πάτερ, ὁ τὴν νεκρὰν ὡς ζῶσαν ἐπανερόμενος· καὶ τὴν ὑπὸ τοῦ ὄφεως σπαρεῖσαν ἐν ἐμοὶ ἁμαρτίαν μετάβαλε εἰς ἀρετῶν κεχρυσωμένην φαιδρότητα, διαλύων μου τὴν πενητεύουσαν ἀπορίαν, ὡς καὶ τὴν τοῦ πένητος μάκαρ πτωχείαν διέλυσας, ἐν τῇ τοῦ ὄφεως εἰς χρυσὸν ἀθρόᾳ μεταβολῇ. Εἰρήνην δέ μοι παράσχου ὁ αὐτήκοος γεγονὼς Ἀγγέλων συλλειτουργούντων σοι, ἐν τῷ ΤΗΝ ΕΙΡΗΝΗΝ τῷ λαῷ προσφωνεῖν, ΚΑΙ ΤΩ ΠΝΕΥΜΑΤΙ ΣΟΥ ἀντιφωνούντων. Δρέσισον δὲ μου τὸ ὑπὸ τῶν παθῶν καυσῶδες τῆς κεφαλῆς, ὁ τὴν Οὐράνιον δρόσον ἐπὶ τῆς σῆς Κορυφῆς ἐν ὥρᾳ θέρους δεξάμενος, προσημαίνουσαν τὴν ἐκ Θεοῦ μέλλουσάν σοι χάριν· δι' ἧς γέγονας ἐν Θαύμασι περιβόητος, ἐν Ἀρχιερεῦσιν ἀμώμητος, τῆς Ἐκκλησίας πύργος ἀκλόνητος, τῆς πρώτης Συνόδου ὑπέρμαχος, καὶ Κερκυραίων προασπιστὴς πολυθρύλλητος. Ὅθεν κἀγὼ ὁ ἀνάξιος προσπίπτω σοι, αἰτούμενος λόγον ἐν ἀνοίξει τοῦ στόματός μου. Διάλυσον οὖν μοι τὴν ἀφωνίαν, ὡς καὶ τὴν τοῦ Διακόνου ποτὲ, ἵνα πίστει καὶ φόβῳ κραυγάζω σοι. Χαίροις φύλαξ ὁ τῆς Νήσου, Σπυρίδων, ταύτης ὁμοῦ, καὶ πρόμαχος.

ΤΩΙ ΑΥΤΩΙ ΜΗΝΙ ΙΒ'.

Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν

ΣΠΥΡΙΔΩΝΟΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Ἐπισκόπου γενομένου Τριμυθοῦντος, πατρὸς καὶ προστάτου Κερκύρας.

Στίχ. Ὁ θαυματουργὸς κἂν τέθνηκε, Σπυρίδων,
Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.
Ἀμφὶ δυωδεκάτην Σπυρίδων βιότοιο ἀπῆλθε.

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΑΕΙΨΑΝΟΝ.

Στιχ. Καὶ ζῇς ἐν μακάρεσσι, καὶ οὐ μακρὸν ὕπνον ἰαύεις·
Ἀλλὰ φέρεις μορφὴν ἀρτιθανοῦς Σπυρίδων.
Ἄσσα δέ σοι φθιμένῳ σταυρόγραφα ῥήγεια θῆκαν
Λάτριες, εὐθρύπτου σηπτὸς ἄμοιρα πέλει·
Καὶ λιπαρὴν Κερκύραν ἔχεις, καὶ θαύματα πρήσσεις,
Λάτρι φίλε Χριστοῦ, λάτρι φίλε Τριάδος.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΑΓΩΝΕΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ

Κύριε εὐλόγησον.

Μέγιστον εἰς ψυχῆς ὠφέλειαν βίος γενναίων καὶ φιλοθέων ἀνδρῶν, καὶ πολὺν τὸν πλοῦτον τῆς ἀρετῆς ἐμποιεῖν δυνάμενος· οὐ μόνον γὰρ τοῦ χείρονος ἐκκοπὴν, ἀλλὰ καὶ πολλὴν πρὸς τὸ βέλτιον μεταβολὴν ἀπεργάζεται· εἴτε γάρ τις εἴη πάθεσι προκατειλημμένος, τοιούτων ἀπολαύων διηγημάτων, τῆς πρὸς ταῦτα γίνεται *** θερμότερον ὑπὸ τῆς ἱστορίας κατ' αὐτῶν διανίσταται, καὶ τῇ τοῦ ὁμοίου φιλίᾳ παροξύνεται πρὸς τὴν μίμησιν· μίμησις δὲ καὶ ζῆλος μεγάλων δήπου καὶ θαυμασίων ἀνδρῶν ὅσον δύναται, καὶ ἄλλοι μὲν ἔξειξαν, τῶν φθασάντων τὸ περὶ τὴν

ΙΕΡΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΜΟΝΗΣ ΠΑΤΕΡΩΝ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ

ἀρετὴν φιλοχάματον μιμησάμενοι· μάλιστα δὲ πάντων ὁ θαυμάσιος τὸν βίον Σπυρίδων, Ἰακώβ τε ὁμοῦ καὶ τὸν θεῖον Δαυΐδ εἰς ἄκρον ζηλώσας, καὶ πολὺ κατ' ἐκείνους τὸ πρᾷον καὶ ἄπλαστον ἐσπασάμενος, ὡς δὲ καὶ πρὸς Ἀβραὰμ τὸ φιλόξενον ἐμβλέψας, καὶ κοινὰ τὰ ὄντα τοῖς χρῄζουσι ποιησάμενος· κἀντεῦθεν οὐ τὴν γῆν διὰ τὸ πρᾷον, ὡς ἡ ὑπόσχεσις, ἀλλ' αὐτοὺς κληρονομήσας τοὺς οὐρανούς, καὶ διὰ πλοῦτον, ὃν περιεῖδε, Χριστὸν ὅλως τὸν θεῖον πλοῦτον ἐμπορευσάμενος, θαυμάτων τε ποταμοὺς πλουτήσας, ἀείποτε μὲν ἀντλουμένους, μηδέποτε δὲ μηδαμῶς λήγοντας.

Τοῦτον ἤνεγκε μὲν νῆσος ἡ Κύπρος· ἦν δὲ οὐ στωμύλος τις, οὐδὲ κομψὸς τὸ ἦθος, οὐδὲ πλήθει καὶ ἀγορᾷ χαίρων· ἀλλ' ἁπλοῦς καὶ ἡσύχιος, καὶ ἀπραγμοσύνην, εἴπερ τις ἕτερος, ἀσπαζόμενος, δι' ἃ καὶ πρὸς τὴν τοῦ πατριάρχου, καθάπερ ἔφημεν Ἰακώβ πολιτείαν τὸ σύνολον ἑαυτὸν τυπῶν, ποιμὴν καὶ αὐτός, προβάτων ἐδείκνυτο· οὐ μὴν ἀκριβῶς ποιμήν, οὐδὲ ἀφελὴς οὕτως, ἢ καὶ ἀγροικικὸς τὸ ἦθος καὶ ἀμείλικτος, ἀλλ' ἠθῶν μάλιστα χρηστῶν ἐπιμελητής· καὶ τῆς μὲν πολλῶν ὁμιλίας ἑαυτὸν ἀπάγων, πένησι δὲ ἀνδράσι καὶ ξένοις οὕτω τι εὐπρόσιτος καὶ κοινωνικός, ὡς καὶ ὁμιλῆσαι πάντων ἀνθρώπων δεικνύεσθαι χαριέστατος, καὶ μεταδοῦναι τῶν ὄντων φιλοτιμότατος· ἀμέλει καὶ τό τινα τῶν παριόντων παραδραμεῖν ἐκείνων, ἢ ἐπιξενωθέντα, λυπηρὸν ἦν αὐτῷ σφόδρα, καὶ ἴσον τῷ μεγίστου τινὸς καὶ κερδαλεωτάτου διαμαρτεῖν, καὶ τὰ μὲν ἄλλα ἐλεύθερον ἂν ἔχων τὸ φρόνημα, καὶ ξένον πάσης ἀγεννοῦς κολακείας καὶ ταπεινότητος· κόπους δὲ ὁδοιπορούντων ἐκθεραπεῦσαι, καὶ πόδας ἀπονίψαι πεπονηκότας, τραπεζάν τε παραθεῖναι, καὶ τἆλλα διακονῆσαι νόμῳ φιλίας καὶ μετριότητος οὕτω θεραπευτικὸς τε καὶ δεξιώτατος, ὡς αὐτοῦ μόνου εἶναι τούτου, ἢ τῶν οἰκετῶν τοὺς εὐνοϊκώτατα περὶ τοὺς δεσπότας τοὺς ἰδίους διακειμένους· ἐκέκρατο γὰρ αὐτῷ σεμνότητι μὲν ἡ ἁπλότης, ἀνδρίᾳ δὲ ἡ πραότης, τῷ δὲ σφόδρα συντόνῳ καὶ διαπύρῳ τῆς ἀγάπης τὸ χαρίεν ἐπήνθει τῆς σωφροσύνης· ἧς ὡς οὐδενὸς ἡράσθη τῶν πάντων, καὶ θερμῶς περιείχετο, γυναικὶ μὲν νομίμῳ καὶ σώφρονι χρόνον ὁμιλήσας οὐχὶ συχνόν, καὶ πατὴρ παίδων ἐκ ταύτης γενόμενος, τὸ λοιπὸν δὲ κρείττων ἡδονῆς καὶ πάσης ἄλλης ὑλώδους ἐπιθυμίας μεμενηκώς· ἐντεῦθεν καὶ τὸ τῆς ἀρετῆς φιλοπονώτερον μέλι ἐργαζόμενος, τῷ νόμῳ τε Κυρίου σπουδαίως ἐμμελετῶν, φιλανθρωπότατος τὴν ψυχὴν κατέστη, καὶ τὴν γνώμην ἐπιεικέστατος· καὶ συνελόντα φάναι, θεῖόν τε Σπυ-

ρίδων ἀρχέτυπον καὶ πίναξ ἀρετῶν ἦν, πάσας μὲν ἐν ἑαυτῷ γεγραμμένας ἔχων, ὀλίγοις δὲ πρὸς μίμησιν ἐλθεῖν δυναμένας· οὕτω διαλάμπων τοῖς κατορθώμασι, καὶ βίον ἐκεῖνος μέγαν εἰσενεγκών, πολλῶν μειζόνων ἀξιοῦται καὶ δωρεῶν· καὶ τέως τῶν ἐνταῦθά φημι, καὶ ὅσα δὴ τῶν μελλόντων ζωγράφει τὴν μεγαλειότητα, τὰ δὲ ἦν· ἐρρώννυ σώματα νόσῳ κατειργασμένα· πηρώσεις ἴατο θεραπείας ἰσχυροτέρας· πνεύμασι πονηροῖς ἐπετίμα, καὶ τὸ μέσον τῆς ἐπιτιμίας καὶ τῆς φυγῆς οὐδὲν ὅλως ἦν, ἀλλ' εὐθὺς ἀπηλλάττοντο, καὶ ἄλλα δὲ μείζονα τούτων πολλὰ διεπράττετο, δυνάμεως θείας αὐτῷ συνεργούσης· δι' ἃ καὶ ποιμὴν ἐκ ποιμένος καθίσταται, ἀνθρώπους ἀντὶ προβάτων διέπειν ἐγχειρισθείς· ὁπηνίκα Κωνσταντῖνος ὁ μέγας ἐκράτει Ρωμαίων, αὐτὸς τῆς πόλεως Τριμυθούντων Ἐπίσκοπος γνωριαθείς ὅσην δὲ καὶ μετὰ τὸν θρόνον εἶχε τῆς ἀρετῆς ἐπιμέλειαν, τὰ μετὰ τὸν θρόνον ὡσαύτως θαύματα δηλώσει· πλὴν ἀλλὰ τὸ πάντα μὲν τὰ ἐκείνου διεξελθεῖν, ἀπειρόκαλόν τε ὁμοῦ καὶ ἀδύνατον, ὥσπερ τὸ πάντα παραλιπεῖν ἀτεχνῶς ἐπιζήμιον· ὅσα δὲ καὶ εἰπεῖν δυνατόν, καὶ ἀκοῦσαι λίαν ὠφέλιμον, ταῦτα δὴ καὶ ἐρῶ.

Ἐκόλαζε τὴν νῆσον ὁ Θεὸς ἀνομβρία, καὶ αὐχμὸς ἐφειστήκει δεινός· καὶ ἠκολούθει τῷ αὐχμῷ μὲν λιμὸς τῷ λιμῷ δὲ λοιμός· καὶ τὸ πολὺ τοῦ πλήθους, τὸ μὲν ἤδη καὶ διεφθείρετο, τὸ δὲ ὅσον οὔπω τοῦτο παθεῖν ἠλπίζετο· ἐδεῖτο δὲ τὸ δεινὸν Ἡλιοῦ πάντως, ἢ ἑτέρου τὸν κατ' ἐκεῖνον, εὐχῇ τὸν οὐρανὸν διανοίξοντος· καὶ οὗτος Σπυρίδων ἦν· ὡς γὰρ ἡ μάστιξ ἐπέκειτο, καὶ ἰσχυρῶς μετῄει τὸ πλῆθος, ὑπεραλγῶν αὐτὸς τοῦ ποιμνίου, καὶ πατρικοῖς σπλάγχνοις διακαιόμενος, δεῖται μὲν ὡς φιλάνθρωπος τοῦ φιλανθρώπου Θεοῦ, πληρεῖ δὲ ἐκεῖνος αὐτίκα τὸν οὐρανὸν νεφέλαις ἐξ ἐσχάτου τῆς γῆς· καὶ τὸ δὴ θαυμαστόν· ὡς μή τις νομίσοι φυσικῇ τινι τῶν στοιχείων ροπῇ τὸν ὄμβρον ἀκολουθεῖν, δείκνυσι μὲ αὐτὰς πόρρωθεν ὁ Θεὸς, ἵστησι δὲ, μὴ πρότερον ἐφιεὶς ἐπιβῆναι τῆς νήσου, πρὶν ἢ καὶ πάλιν αὐτοῦ δεηθῆναι τὸν ἅγιον· οὕπω τοίνυν ἐκεῖνος σταλαγμὸν ἄφῆκε δακρύων, καὶ ὄμβρος αὐτίκα κατερράγη πολὺς· καὶ πιαίνεται μὲν ἡ γῆ, τρέφεται δὲ τὰ ὡραῖα, καὶ τὰ λῇτα αὔξεται, καὶ πάντα ὁμοῦ λύεται τὰ δεινά· τούτῳ Σπυρίδων καὶ αὐτοῦ Ἡλιοῦ, ἵνα τι καὶ τολμήσω, φιλανθρωπότερος· ὁ μὲν γὰρ τὸν ὑετὸν ἐπισχὼν, εἶτα πάλιν ἀνῆκεν· ὁ δὲ, τὸ πρῶτον οὐ μιμησάμενος, ἴσος ἐν τῷ δευτέρῳ δείκνυται· καὶ τοῦτο μὲν δὴ τοιοῦτον· ἕτερον δὲ οὐδὲν ἐκείνου καταδεέστερον.

Συμφορὰ πάλιν ἐκράτει κοινὴ, καὶ ἄγονος ἦν ἡ νῆσος καρπῶν· οἱ σιτῶναι δὲ καὶ σιτοκάπηλοι ἐν ἀπειλῇ τοιᾷδε Θεοῦ τρυφᾶν ἐκεῖνοι βουλόμενοι, καὶ σοφιζόμενοι τὸν καιρὸν, τὴν συμφορὰν μᾶλλον ἐπιτείνοντες, ἦσαν «ταμιουλκοῦντες, ὡς φησιν ἡ θεία Γραφὴ, «τὸν σῖτον», καὶ τοῖς τῶν πλησίον κακοῖς κέρδος ἀνόσιον ἑαυτοῖς προσπορίζοντες· ἑνὶ γοῦν τῶν οὕτω πλουτούντων πένης τις προσελθὼν, καὶ χρήματα μὲν οὐκ ἔχων, οἷς ἂν τὰ πρὸς τὴν χρείαν ὠνήσαιτο, δάκρυα δὲ, φεῦ, ἅπερ εἶχε, καταβαλλόμενος, καὶ φωνὰς γοερὰς ἐν οἰκτρῷ σχήματί τε καὶ βλέμματι προϊέμενος, ἐπειρᾶτο τὸν ἀμείλικτον ἐπικάμπτειν, ποδῶν ἁπτόμενος, οἰκίαν ὅλην ἀποκλαιόμενος, τί μὴ ποιῶν; τί μὴ λέγων; ὁ πρὸς οἶκτον ἐπισπάσασθαι δυνατόν· ὡς δὲ οὐδὲν τούτων ὅλως τὴν λιθώδη ψυχὴν ἐκείνην ἔκαμπτε πρὸς συμπάθειαν, μίαν εὑρίσκει καταφυγὴν ὁ πένης τὸν ὅσιον· ᾧ προσελθὼν, αὐτοῦ τε τὴν ἀπορίαν, καὶ τὴν πρὸς ἔλεον ἀκριβῆ πενίαν διέξεισι τοῦ πλουσίου· τὸν δὲ ἀκούσαντα, τοῦτον μὲν ἐλεῆσαι τῆς συμφορᾶς, τοῦ δὲ πλουσίου μισῆσαι τὴν ἀγριότητα· καὶ ὥσπερ ἔνθουν γενόμενον, προφητικώτατα προεῖπεῖν· οὐ δὲ ἀλλὰ μὴ στέναζε, μηδὲ κλαῖε· αὔριον γὰρ ὄψει τὸν μὲν σὸν οἶκον εὐθηνοῦντα τοῖς ἀγαθοῖς, τὸν δὲ νῦν πλούσιον ἐλεούμενόν τε ὁμοῦ καὶ γελώμενον, καὶ ἄκοντά σοι, ὧν χρῄζεις, παραχωροῦντα, καὶ προθύμως ἀξιοῦντα λαβεῖν. Ταῦτα ὁ μὲν πένης εἰς παραψυχὴν ἐδόκει μόνην λέγεσθαι τῷ ἁγίῳ τῆς ἐχούσης αὐτὸν συμφορᾶς· ἔνθεντοι καὶ σκυθρωπὸς ἀπῄει, καὶ αὐτὴν, ὡς ἐδόκει, τὴν ἱερὰν ἀγκυραν, τὴν πρὸς τὸν μέγαν ἐλπίδα, κενὴν καὶ ἄπρακτον εὑρηκώς. Νυκτὸς δὲ ἤδη καταλαβούσης, νεύει μὲν ὁ Θεὸς, καταχέει δὲ τῆς γῆς ἀθρόως ὁ οὐρανὸς ὕδατα οὕτω δαψιλῶς, ὡς τῇ πολλῇ τούτων ῥύμῃ καὶ τοῦ πλουσίου πχρασυρῆναι τὰς ἀποθήκας· τὸν σῖτον δὲ, καὶ ὅσος ἄλλος καρπὸς ἀπεκέκλειστο, χύδην ἐκφορηθῆναι, καὶ εἰς διαρπαγὴν ἕτοιμον κεῖσθαι τοῖς βουλομένοις· ἡμέρας δὲ ἀνασχούσης, ὁ πλούσιος μὲν θρηνώδης, ἄθλιος, τῇδε περιτρέχων κἀκεῖσε, καὶ τὴν δικαίαν μετακλαιόμενος συμφοράν· εἶτα καὶ τῶν παριόντων ἐδεῖτο βοηθῆσαι οἱ, καὶ συνάρασθαι τῆς συναγωγῆς τῶν καρπῶν· πολλῶν δὲ, οἷα δήμου πεινῶντος, ἐφ' ἁρπαγῇ συνδεδραμηκότων, τρόσεισι καὶ ὁ πένης, τὸ θαῦμα μὲν ἐκπληττόμενος, ἥδιστα δὲ καὶ τοῦ πλουσίου καταγελῶν γέλωτα δικαιότατον, καρπῶν τε ἅμα πληρῶν τὴν οἰκίαν, καὶ πάντα ἔχων εὐπετῶς, τὸ τοῦ λόγου, ἄσπαρτα καὶ ἀνήροτα. Εἶτα συρρέων τὸ πλῆθος ὁρῶν ὁ ὠμὸς ἐκεῖνος καὶ ἄσπλαγχνος· ἔδει γὰρ ἀτέλεστον

οὐδὲν μεῖναι τῶν τῷ Σπυρίδωνι προλεχθέντων· καὶ τὰ αὐτοῦ πάντα κατὰ πολλὴν ἄδειαν ἀμφοτέραις ἀντλοῦντας· ὡς δὲ καὶ τὸν χθὲς ἱκέτην, ἕνα τοῦ πλήθους γενόμενον καὶ αὐτόν, ὥσπερ ἔφημεν, ἀφθόνως ἀπολαύοντα τῶν προκειμένων· ὥσπερ κατὰ γνώμην αὐτῷ δωρεῖσθαι βουλόμενος, καὶ κοινωνικός τις εἶναι καὶ μεγαλόδωρος ὁ λίαν φειδωλός τε καὶ ἀκοινώνητος, ἐκέλευε τῶν παρόντων εἰς κόρον ἀδεῶς λαμβάνειν· ὁ δὲ, τῆς ἀνοίας ἱκανῶς αὐτὸν διαμυκτηρίσας, οἴκαδε ἀνεχώρει, Θεῷ προηγουμένως, ἔπειτα δὲ καὶ Σπυρίδωνι τὴν χάριν ἐπιγραφόμενος· οὕτως ἤδει Σπυρίδων οὐ μόνον διὰ πολλοὺς, ἀλλὰ καὶ δι' ἕνα γοῦν πολλάκις, τὸς ἄνωθεν ἐξαναίγειν πηγάς· καὶ ὁμοῦ μὲν καθ' ὃν ἔσται τοῦτο καιρὸν προειπεῖν, ὁμοῦ δὲ καὶ πένητας ὠφελῆσαι, καὶ πλουσίους παιδαγωγῆσαι· εἰ γὰρ καὶ οὐδὲν μᾶλλον, ὡς ἤδη λεχθήσεται, ὁ φειδωλὸς ἐκεῖνος κατέστη χρηστὸς, ἀλλ' οὖν γε τῶν ὁμοίων πολλοῖς γέγονε πρὸς βελτίωσιν ἀφορμή. Ταῦτα τίς ἡδέως οὐκ ἤκουσε τῶν παρόντων; τίς δὲ καὶ ἀκούσας, οὐχὶ καὶ πρὸς τὰ ἄλλα λιχνοτέραν ἔσχε τὴν ἀκοὴν, καὶ μαθεῖν ἐπεζήτησε; ἐπιζητοῦντα δὲ τίς ὀκνηρὸς οὕτως ἢ φθονερὸς, ὡς ψυχὴν πεινῶσαν τρυφῆς τοιαύτης ἀποστερεῖν;

Ἄλλος τοίνυν γεωργὸς ἀνὴρ, τῶν συνήθων ὢν τῷ ὁσίῳ, καὶ εἰς ἄγαν τῷ λιμῷ πιεζόμενος, ἀπῄει καὶ οὗτος πρὸς αὐτὸν ἐκεῖνον τὸν πενιχρὸν πλούσιον, πολλὰς ἔτι καὶ ἄλλας ἀποθήκας ἔχοντα σίτου βαρυνομένας, ὑπολαβὼν πάντως, ὡς ἱκανῶς αὐτὸν ἡ προτέρα παιδαγωγήσει συμφορά· ἐῴκει δὲ οὗτος τὸν μὲν σῖτον ἀποβαλὼν, τοῦ φειδωλοῦ δὲ καὶ τῆς περὶ τὸν πλησίον ὠμότητος τὸ παράπαν οὐδὲν ἀποβεβληκέναι, οὔτε μὴν ὅλως ἀμείνων ἑαυτοῦ γενόμενος· καί τοι καὶ εἰς ὥραν θερείαν ὑπισχνουμένου τοῦ πένητος μετὰ προσθήκης τὸ καταβληθὲν ἀντιδοῦναι· ἀλλ' ἐκεῖνος, τοῦτο δὴ τὸ τοῦ λόγου, τὰς ἐλπίδας ἔλεγε τοὺς ἄφρονας βόσκειν. οὐδ', ἔφη, χρημάτων ἄνευ, οὐδὲ κόκκου ἂν ἑνὸς, οὐδὲ σκιᾶς αὐτοῦ μεταλάβοις· ἀπογνοὺς οὖν καὶ ὁ πένης οὗτος, μιμεῖται τὸν προλαβόντα, καὶ ὥσπερ εἰς κοινὸν θησαυρὸν τὸν Σπυρίδωνα καταφεύγει, ἀπαγγέλλει τε καὶ ὅσα πάθοι, καὶ ἃ τοῦ πλουσίου δεόμενος ἐπακούσειεν· ὁ δὲ, τότε μὲν ἱκανῶς ψυχαγωγήσας αὐτὸν, οἴκαδε παραπέμπει· οὐ μὴν ἄχρι λόγων ἵστησι τὴν ψυχαγωγίαν· ἀλλὰ τῆς ἐπιούσης ὁ μέγας ἀρχιερεὺς αὐτὸς ἐκεῖνος πρὸς τὸν πένητα ἀφικνεῖται, χρυσοῦν τι εἶδος ἐπιφερόμενος, οὐκ εὐάγωγον τὴν ὅλκὴν, ὅπερ τί τε ἦν, καὶ ὅθεν καὶ ὅπως εὑρηται τῷ ἁγίῳ, μετὰ μικρὸν ὁ λόγος δηλώσει· τέως δ' οὖν ὁ μέγας τοῦτο Σπυ-

ρίδων ταῖς χερσὶ τοῦ πένητος ἐμβαλών· δέξαι, ἔφη, καὶ τῷ πλουσίῳ τὸ προσφιλὲς αὐτῷ παρασχὼν εἰς ἐνέχυρον, τάσοι χρήσιμά τε καὶ ἀναγκαῖα παρ' αὐτοῦ λάμβανε. ἤσθη τοῦτο λαβὼν ὁ πένης, καὶ πρὸς τὸν πλούσιον, ᾗ ποδῶν εἶχεν, ἐκθύμως ἐχώρει· εἶτα ἰδὼν ἐκεῖνος τὸ ἐν χερσὶν, ὁ πρὸ μικροῦ σκληρός τε καὶ ἀδυσώπητος καὶ τὰ ὦτα πρὸς δέησιν ἐκκεκωφημένος, εὐθὺς ἀπὸ τῶν ὀφθαλμῶν κάμπτεται, καὶ ἡδὺς γίνεται καὶ φιλάνθρωπος· κἀκεῖνο λαβὼν, οὕτω τοῦ σίτου δαψιλῶς μεταδιδοῦσιν, ὡς καὶ τὴν οἰκίαν αὐτοῦ πληρῶσαι, καὶ πρὸς σπερμάτων καταβολὴν, αἷς εἶχεν ἀρούραις, τὸ δοθὲν ἀρκέσαι· τούτῳ τε πυλύχουν τὸν καταβληθέντα γενέσθαι καρπὸν, ὥστε καὶ τὸ χρέος ἀπομετρῆσαι τῷ δεδωκότι, τὸν εἰς ἐνέχυρόν τι χρυσὸν ἐκεῖθεν ἀναλαβεῖν, καὶ τῷ ἁγίῳ αὖθις εὐγνωμόνως προσενεγκεῖν· ἀλλ' ὁ μὲν πένης τὴν ὀφειλὴν οὕτως· βούλεται δὲ καὶ ὁ λόγος τὸ ἑαυτοῦ χρέος καταβαλεῖν, καὶ γνωρίσαι ὃ ἐπηγγείλατο, τί τε ὁ χρυσὸς πρότερον ἦν, καὶ ὅθεν εἴληπται· ἀπολαβὼν γὰρ ὅσιος τὸ δοθὲν· δεῦρό, φήσιν, ἀδελφὲ πρὸς τὸν πένητα, καὶ ἀποδῶμεν κοινῇ τῷ φιλανθρώπως αὐτὸ χρήσαν οὕτως ἔφη· καὶ λαβὼν αὐτῶν ἄγει παρά τι κηπεῖον, ὅπερ ἦν τῷ μεγάλῳ μικροῖς λαχάνοις τὴν ἀσιτίαν παραμυθούμενον· καὶ στὰς παρ' αὐτὸ δὴ τὸ θριγκίον, καὶ ἁψάμενος τοῦ φραγμοῦ, τὰ ὄμματά τε διάρας πρὸς οὐρανὸν· Κύριέ μου Ἰησοῦ Χριστὲ, εἰς ἐπήκοον τοῦ παραστῶτος αὐτῷ ἐξεφώνει, ὁ πάντα ποιῶν καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι, ὁ ἐπὶ Μωϋσέως ποτὲ τὴν ῥάβδον εἰς ὄφιν ἐπ' ὄψει τοῦ βασιλέως Αἰγύπτου μεταβαλών· αὐτὸς καὶ τουτὶ τὸ χρυσίον, ὥσπερ ἐκ ζώου πρότερον εἰς ταύτην μετέβαλες τὴν μορφὴν, οὕτω καὶ νῦν νεῦσον εἰς ὃ ἦν ἐξ ἀρχῆς εἶδος ἀναδραμεῖν· ὅπως καὶ οὗτος τὴν περὶ ἡμᾶς σου μάθῃ κηδεμονίαν, καὶ πράγμασιν αὐτοῖς τὸ ἐν τῇ θείᾳ γραφῇ διδαχθῇ, ὅτι πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησε, ταῦτα εὐξαμένῳ τῷ ὁσίῳ τίς εἴποι τῶν σῶν θαυμασίων δέσποτα τὴν ὑπερβολήν; ὄφις ὁ χρυσὸς ἦν, πνέων καὶ ἕρπων, καὶ περὶ τὸ θριγκίον κινούμενός τε καὶ ἑλισσόμενος, ἀφ' οὗ δὴ καὶ τὸ πρῶτον χερσὶ τοῦ ἁγίου ληφθείς, εἰς ἐκεῖνον δὴ παραδόξως μετῆλλαξε τὸν χρυσὸν· τοῦτο παρὰ πᾶσαν ἔννοιαν ἀνθρωπίνην ὁ γεωργὸς θεασάμενος, καὶ τρόμῳ κατάσχετος γεγονὼς πίπτει τε ἐπ' ὄψιν εἰς γῆν, καὶ καταπάττει κόνιν ἐπὶ τῆς κεφαλῆς, δάκρυά τε ἀπὸ τῶν ὀφθαλμῶν ἀφιεῖς, καὶ ἀνάξιον ἑαυτὸν εἶναι λέγων οὐ τοιαύτης μόνον δωρεᾶς τε καὶ χάριτος, ἀλλὰ

καὶ θέας μόνης, μᾶλλον δὲ καὶ ἀκούσματος· πλὴν ἀλλὰ τοῦτον μὲν ὁ ὅσιος διανίστησι, καὶ ψυχὴν αὐτῷ ἅμα καὶ σῶμα ῥώννυσιν. Ὁ ὄφις δὲ ἐν τοσούτῳ τοῦ φραγμοῦ διεξελιχθεὶς, τὸν φωλεὸν ὑπέδυ τὸν ἐξ ἀρχῆς, πάντως οὐδενὸς δεῖται τὸ θαῦμα λόγου πρὸς αὔξησιν· δείκνυται γὰρ αὐτόθεν ὁποῖον, καὶ τέχνης ὅλως ἡ φύσις ἀνενδεὴς, οἰκείαν ἔχουσα τὴν ὑπερβολήν. Λεγέσθω δὲ καὶ τὸ ἑφεξῆς, συγγενὲς ὂν τοῖς προλαβοῦσι, καὶ τῆς αὐτῆς ἐκείνοις χάριτος καὶ δυνάμεως.

Ἕτερος προσφιλὴς καὶ αὐτὸς τῷ ὁσίῳ, ἀρετὴν δὲ μετιών, καὶ ταύτῃ πονηρούς τε ἄνδρας ἐς φθόνον κεκινηκὼς, καί τινων ἐγκλημάτων ὑποπτευόμενος συκοφαντίαν, ὑπὸ τοῦ τῆς ἐπαρχίας ἄρχοντος συσχεθεὶς, τῇ εἱρκτῇ παραδίδοται, ὅσον δὲ οὔπω καὶ θανάτῳ καταδικάζεται. Ὡς οὖν ἡ κυρία ἐγγὺς ἦν, φθάνει δὲ καὶ τοῦτο προγνοὺς ὁ ἅγιος, σπεύδει λῦσαι τῷ φίλῳ τὴν συμφοράν· ἦν δὲ τότε χειμῶνος τὸ ἀκμαιότατον, καὶ ὁ παρ' ἡμῖν χείμαρρος ὕδασι πλημμυρεῖ ὡς μάλα πολλοῖς, καὶ τῶν ἰδίων ὅρων ὑπερχεθεὶς, σφοδρῶς αὐτῷ κατὰ τὴν πάροδον ἔρρει, καὶ οὐδαμῇ οὐδόλως διαβατὸς ἦν. Ὁ δὲ Ἰησοῦν τε τὸν τοῦ Ναυῆ καὶ τὰ ἐκείνου ἐν νῷ τιθέμενος, τὴν διάβασίν τε τῆς κιβωτοῦ λογιζόμενος, τὸν αὐτὸν ὥσπερ καὶ ἦν πεπιστευκὼς εἶναι θεὸν, καὶ τρόπον οἰκέτου τῷ χειμάρρῳ χρώμενος· στῆθι, ἔφη, ὁ κοινός σοι ἐπιτάττει δεσπότης, καὶ διαβήσομαι ἐγὼ, σωθήσεται δὲ ὁ ἀνὴρ, ὑπὲρ οὗ σπεύδομέν τε καὶ πολλὰ τοῦ θεοῦ ἐδεήθημεν. Οὕτως ἔφη, καὶ τὸ ῥηθὲν παραχρῆμα πέδῃ τῷ ποταμῷ γίνεται, καὶ τοῦ ῥεύματος ἵσταται· παραχωρεῖ δὲ οὐ Σπυρίδωνι τῆς ὁδοῦ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὁδίταις, οὐκέτι τοῦ λοιποῦ πονηρόν τι συνάντημα ἐκείνοις καὶ ἄπορον ὄν. Τὸ μὲν οὖν πάρεργον οὐδὲν ἧττον αὐτῷ τοῦ ἔργου θαυμαστὸν εἴργασται, ἐκ τούτου δὲ κἀκεῖνο κατώρθωτο μᾶλλον· ὡς γὰρ οἱ συμπορευόμενοι τὸ γεγονὸς ἐθεάσαντο, αὐτοῦ τε προδραμόντες, καὶ τὴν πόλιν ὡς τάχος καταλαβόντες, λαμπροὶ κήρυκες τοῦ τελεσθέντος καθίστανται. Καὶ ὁ ἄρχων, τοῦτο μὲν ἐκπλαγείς, τοῦτο δὲ καὶ δέει καταληφθείς, μὴ τοιαῦτα δυναμένῳ ἀνδρὶ προσκρούσας ὀρθῇ, ἀνίησί τε παραχρῆμα τὸν φίλον αὐτῷ τῶν δεσμῶν, καὶ τῷ ἁγίῳ τοῦτον χαρίζεται· ὁ δὲ λαβὼν ἐπανήει, ἐκ μιᾶς αἰτίας δύο κατειργασμένος, καὶ στήσας τῷ χειμάρρῳ μὲν τὴν φοράν, τῷ ἀνθρώπῳ δὲ φιλανθρώπως πάνυ τὴν συμφοράν. Προφητείας μὲν οὖν, ἢ θαυματουργίας, ἢ πρὸς τοὺς ἐν συμφοραῖς συμπαθείας, οὐδὲν, οἶμαι, τῶν λεχθέντων σημείων μεῖ-

ζόν ἐστι· ὁ δὲ λόγος καὶ πλέον τι τῶν εἰρημένων δεικνύειν ἕτοιμος εἰς προφητείαν ὁμοῦ καὶ συμπάθειαν· τὸ ἁμαρτίας φημὶ ἀνθρώπων ἐκ τοῦ ἀφανοῦς ὁρᾷν, καὶ ταύτας ἀφιέναι γνώμης τε φιλανθρωπίᾳ καὶ χάριτος δαψιλείᾳ.

Πανταχοῦ τὸν ἑαυτοῦ τόπον ὁ μέγας φυλάττων, λιτότητι μάλιστα χαίρων ἦν, ἅτε δὴ τὸν ἑαυτοῦ δεσπότην μιμεῖσθαι βουλόμενος· οὔτε γάρ ἵππῳ πρὸς τὰς ὁδοιπορίας ἐχρῆτο, οὔτε μήν τι πρὸς πάντας ἀνομίλητόν τε καὶ ἄμικτον ὡς δή τι σεμνὸν ἑαυτῷ περιεποιεῖτο. Ἐπεὶ γοῦν ἔφθη ποτὲ συντόνως ὁδοιπορήσας, καὶ ὁδοῦ μήκει τοὺς πόδας πεπονηκὼς, ἔν τινί τε τῶν φίλων καὶ τῆς αὐτοῦ ποίμνης χρηστῷ θρέμματι ξενιζόμενος, αὐτὸς, οἷα τοῦ ἀγαθοῦ ποιμένος πρόβατον, καὶ πρὸς τὸν ἐκείνου βίον, ὥσπερ εἰς κάλλιστον ἀρχέτυπον ἀφορῶν, τὸ τοῦ διδασκάλου, μᾶλλον δὲ τὸ τοῦ δεσπότου καὶ πρώτου διδασκάλου Χριστοῦ ἐδείκνυ μέτριον· λαβὼν γὰρ ὕδωρ, καὶ τῷ νυπτῆρι βαλὼν, ἕτοιμος ἦν τῷ ἁγίῳ τοὺς πόδας ἐκθεραπεῦσαι. Οἵ γε μὴν ἐκ γειτόνων, ἐπεὶ τὸν ἅγιον ἤσθοντο παρελθόντα, συνέθεον καὶ αὐτοὶ, καὶ οὐδὲν ἧττον ἐβούλοντο τοῖς ποσὶν ἐκείνου τοῦτο ποιεῖν· καὶ ὡς περιμάχητόν τι παρ' αὐτοῖς τὸ πρᾶγμα ἐτίθουν, καὶ τῆς εὐλογίας ἠμφισβήτουν ἀλλήλοις. Ἐν αὐτοῖς οὖν καὶ γυνή τις τοὺς πλείους παραγκωνιζομένη, πολλή τις ἦν, τοῦτο μάλιστα δρᾶσαι διαζομένη· ἦν δὲ αὕτη σαρκικῷ ἔρωτι ἁλοῦσα μὴ πρὸ πολλοῦ, καὶ ἥττων, οἶμοι, γενομένη τῆς ἁμαρτίας· αὐτὸς δὲ εἰς καρδίαν ὄντως ὁρῶν, καὶ οἷα τὰ τῆς ἐκείνης εὖ ἐπιστάμενος, ἠρέμα μὲν τὸ ἥμερον ἐκεῖνο καὶ ἡδὺ αὐτοῦ πρόσωπον ἀποστρέφει, ἠρέμα δὲ καὶ πρὸς αὐτήν· μή μου ἅπτου, φησὶ, γύναι· οὐχ, ὡς ἄν τις εἴποι, ἑαυτὸν ἀποσεμνύνων, ἢ τὸ γύναιον μυσαττόμενος· πῶς γὰρ, μαθητὴς ὢν ἐκείνου, τοῦ καὶ τελώναις καὶ πόρναις καὶ ἁμαρτωλοῖς συνεσθίοντος; ἀλλ' ἐντρέπων αὐτῇ, καὶ εἰς ἔννοιαν ἐμβάλλων τῆς πονηρᾶς πράξεως, καὶ ἡπίως οὕτω πρὸς μετάνοιαν ἐκκαλούμενος· ὃ δὴ καὶ πέρας εἶχε, καὶ κατὰ σκοπὸν αὐτῷ διηνύετο· ὡς γὰρ ἡ μὲν διετείνετο καὶ ἔτι δρᾶσαι τὸ σπουδαζόμενον, καὶ πολλὴν εἰσῆγε τὴν ἔνστασιν· ὁ δὲ καὶ μᾶλλον αὐτῆς καθίκετο πληκτικώτερον, ὅπερ ἐκείνη πέπραχε, φανερῶς ἐξειπών· τότε δὴ καὶ αὐτὴ, τῷ μὲν σοφῷ τῆς ἐπιτιμήσεως τὴν ψυχὴν πληγεῖσα, ἐκπλαγεῖσα δὲ ὅτι πρὸς τοὺς τῆς ψυχῆς ἀθεάτους ἔβλεψε μώλωπας, ὕδασι μὲν οὐκέτι, δάκρυσι δὲ τοὺς πόδας ἀποκαθαίρει, καὶ συντριβῇ καρδίας ἐπαγγέλλει τὸ πεπραγμένον· τί

οὖν; ἡ μὲν πρὸς αὐτὸν τὰ τῆς πόρνης, ὁ δὲ τὰ τοῦ δεσπότου παρρησιαστικώτατα πρὸς αὐτήν· θάρσει θύγατερ, φησὶν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· καὶ αὖθις, ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· ἅμα καὶ τὴν νόσον κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν ἰώμενος, καὶ τὸ μὴ τοῖς αὐτοῖς πάλιν περιπεσεῖν προθυμούμενος. Οὕτω μὲν οὖν ἐκείνη καρποῦται τῆς ἰάσεως κάλλιστά τε καὶ ὠφελιμώτατα, ὡς μὴ μόνον αὐτῇ τὴν ὑγείαν ἀμετάβλητον μεῖναι, ἀλλὰ καὶ τοῖς ἄλλοις διηγουμένην, ἀφορμὴν πολλοῖς πρὸς σωτηρίαν ὀφθῆναι· ἐπεὶ δὲ τὸν μὲν βίον τεκμηριῶσι τὰ θαύματα, δεῖ δὲ γνωρίσαι οἷος ἦν αὐτῷ καὶ περὶ τὴν πίστιν ὁ ζῆλος, τὸ προκείμενον γνωριεῖ.

Ὅτε Ρωμαίων ἦρχε Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος ἐν βασιλεῦσι Χριστιανὸς, ὑπάτευε δὲ Παυλῖνος καὶ Ἰουλιανὸς, ἀπὸ δὲ τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου βασιλείας ἕκτον καὶ τριακοστὸν (καὶ ἑξακοσιοστὸν) ἠνύετο ἔτος· τότε δὴ καὶ ἡ ἐν Νικαίᾳ περιώνυμος τῶν ἁγίων Πατέρων ἠθροίζετο Σύνοδος, ἐφ' ᾧ καθελεῖν μὲν τὸν Ἄρειον, κτίσμα τὸν Υἱὸν δυσσεβῶς ὀνομάζοντα, δογματίσαι δὲ τῷ Πατρὶ τὸν υἱὸν ὁμοούσιον· ἦσαν δὲ τῶν μὲν τῆς βλασφημίας αὐτῷ συναιρομένων οἱ πρῶτοι μάλιστα καὶ ἐπισημότατοι· Εὐσέβιος ὁ Νικομηδείας, Μάρις τε σὺν ἐκείνῳ καὶ Θέογνις, ὧν ὁ μὲν Νικαίας, Μάρις δὲ Χαλκηδόνος ἐπίσκοποι ἦν· οὗτοι, Ἀρείου τῆς λύσσης ἀφηγουμένου, τὸν τοῦ Θεοῦ υἱὸν καὶ θεὸν κτίσμα, ὦ μανίας, τὰ πονηρὰ κτίσματα ἐδογμάτιζον, τῶν δὲ τῆς εὐσεβείας διαγωνιζομένων οἱ πρόμαχοι, ὧν καὶ λόγος ἅμα καὶ βίος τῶν ἄλλων διαφορώτατος ἦν, ἦσαν οὗτοι· ὅτε μέγας καὶ ἅγιος Ἀλέξανδρος πρεσβύτερος ὢν, ἄρτι δὲ τὸν τοῦ μακαρίου Μητροφάνους τόπον ἐπέχων, ὡς ἂν αὐτοῦ μὴ παρόντος, ἀλλ' αἰτίαν τῆς ἀπολείψεως νόσον ἔχοντος· καὶ Ἀθανάσιος ὁ πολὺς, οὔπω τότε τὸν ἱερατικὸν θρόνον ἀποσεμνύνων, ἀλλὰ τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ τὴν τοῦ διακόνου τάξιν ἀποπληρῶν· διὸ καὶ φθόνος κατ' αὐτῶν οὐ μικρὸς ὑφεῖρπεν, ὅτι μήπω διαφέροντες ἀξιώμασι, πολὺ περὶ τὸν λόγον τῆς πίστεως τῶν ἄλλων ἐκράτουν· ἦν δὲ ἄρα σὺν τούτοις καὶ Σπυρίδων ὁ μέγας, οὗπερ ὁ βίος μᾶλλον καὶ ἡ συνοικοῦσα χάρις ἀνύσιμος εἰς πειθὼ, ἢ τῶν ἄλλων αἱ γλῶσσαι, καὶ τῶν συλλογισμῶν αἱ ἄφυκτοι λαβαὶ, καὶ αἱ τῶν λόγων κομψαὶ περίοδοι. Ὡς δὲ καὶ οὗτος παρῆν· ἐνταῦθα γὰρ ἤδη καὶ τὸ τοῦ πράγματος ἥδιστον· παρῆσαν δὲ καὶ φιλόσοφοι τῇ συνόδῳ, τῷ βασιλεῖ τοῦτο δοκοῦν, κόμπον περιπατητικὸν ἀχοῦντες, καὶ σο-

ματικὴν ψυχαγωγίαν ἄκρως πεπαιδευμένοι· εἴς δέ τις ἐν αὐτοῖς ἡγεῖτο τοῦ λόγου, ἄμαχον εἰς πειθὼ δύναμιν ἔχων, καὶ διὰ πάσης γλώττης τὴν εὐγλωττίαν ἀδόμενος. Οὗτος τοῖς ἐπισκόποις συμμίξας, ἰσχυρῶς Ἀρείῳ συνέστη καὶ λίαν ἀντεῖχε συνηγορῶν, ὡς καὶ τὸ πολὺ τοῦ πλήθους εἰς ἀκρόασιν ἐπισπάσασθαι, γλιχομένους μαθεῖν, πότεροι τῶν ἀντιλεγόντων νικῶντες ἔσονται· οὐδὲ γὰρ ἦν οὕτω τι πρὸς ἐπίλυσιν δυσχερές, ὃ μὴ εὔλυτον ἐκεῖνος ἐτίθει τῇ πρὸς τὸ λέγειν περιουσίᾳ· καὶ εἰς στενὸν σὲ πολλάκις τῆς ἀπολογίας αὐτῷ κατασάσης, δίκην ἐγχέλυος διωλίσθαινε πειθοῖς κλέμμασι καὶ σοφιστικοῖς δελεάσμασιν· ἦν οὖν ἀληθείας καὶ τέχνης ἅμιλλα, τῶν μὲν τἀληθῆ φιλολογούντων νοήμασιν ἀῤῥαδιουργήτοις βαλλόντων τὸν σοφιστήν, τοῦ δὲ καθάπερ ὅπλα προβαλλομένου τὸ ποικίλον τοῦ λόγου καὶ παραλογιστικὸν καὶ κακότεχνον, καὶ τούτῳ μᾶλλον οἰομένου κρατεῖν. Ἀλλ' ἵνα μὴ τῶν λόγων τὸ νικᾶν εἴῃ, ἀλλὰ Χριστοῦ καὶ τῆς ἀληθείας, τοὺς ἄλλως λογίους παραδραμών, Σπυρίδωνος τοῦτο τοῦ ἁπλοῦ γίνεται, ὃς οὐδὲν ἄλλο τι πλέον εἰδὼς, ὅτι μὴ Χριστὸν, καὶ τοῦτον ἐσταυρομένον, ὡς φησὶ Παῦλος, ὡς εἶδε τὸν φιλόσοφον τοῖς σοφίσμασι βρενθυόμενον, φιλολοίδορόν τε γλῶσσαν κινοῦντα κατὰ Χριστοῦ, καὶ τὰ ἡμέτερα διαχλευάζειν πειρώμενον, προσελθὼν ἐκεῖνος, ἠτεῖτο μικρόν τι καὶ αὐτῷ πρὸς λόγους ἐλθεῖν· οἱ δὲ τοῦ μέρους τῆς εὐσεβείας, τὸ ἁπλοῦν αὐτῷ καὶ ἀρχαϊκὸν συνειδότες, προσέτι δὲ καὶ τὸ τῆς Ἑλληνικῆς παιδείας καθαρῶς ἄγευστον, ἐκώλυον εἰς μέσον ἐλθεῖν, καὶ τῷ σοφιστῇ συμβαλεῖν· τὸν δὲ, μηδὲν ἐκείνοις πειστέον· ἤδει γάρ τι μὲν ἡ ἄνωθεν σοφίαν τί δὲ ἡ ἀνθρωπίνη καὶ καταργουμένη δύναται· προσελθεῖν τῷ ἀνδρὶ, καὶ φάναι· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ὦ φιλόσοφε, πρόσχες ἄρτι καὶ ἐν ἐμοὶ τὸν νοῦν, καὶ ἃ βούλομαι λέγειν, αὐτὸς ἄκουσον· τοῦ δὲ φήσαντος· ὡς σὺ μὲν λέξον, ἐγὼ δὲ ἀκούσομαι· «Εἷς ἐστι, Σπυρίδων, ἔφη, Θεὸς, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν »ἄλλων πάντων τῶν ἐν μέσῳ δημιουργὸς· οὗτος ὁ καὶ τὰς οὐ»ρανίους δυνάμεις παραγαγὼν, οὗτος ὁ ἐκ γῆς τὸν ἄνθρωπον »διαπλάσας, καὶ πάντα ὁμοῦ ὁρατά τε καὶ ἀόρατα παραστήσας· »τούτου τῷ λόγῳ τε καὶ τῷ πνεύματι παρήχθη μὲν οὐρανὸς, πα»ρήχθη δὲ γῆ, ἀνεχέθη θάλασσα, ἐτάθη ἀὴρ, ἐτέχθη ζῶα, ἄν»θρωπος διεπλάσθη, τὸ μέγα τοῦτι ζῶον καὶ θαυμαστὸν δημιούρ»γημα, πάντα γέγονεν, ἀστέρες, φωστῆρες, ἡμέρα, νὺξ, τὰ λοιπὰ »πάντα. Τοῦτον οὖν τὸν λόγον, Θεοῦ ἡμεῖς εἰδότες Υἱὸν καὶ Θεὸν

»ἐκ παρθένου δι' ἡμᾶς πιστεύομεν γεγεννῆσθαι, καὶ ἐσταυρῶσθαι, »καὶ τέλος τεθάφθαι· εἶτα καὶ ἀναστάντα, καὶ ἡμᾶς συνεγεί»ραντα, καὶ ἄφθαρτον ἡμῖν καὶ ἄῤῥιδιον παρεσχηκότα ζωὴν· τοῦ»τον φαμὲν καὶ αὖθις ἐλεύσεσθαι πάντων κριτὴν, καὶ τῶν ἡ»μετέρων καὶ ἔργων καὶ λόγων καὶ λογισμῶν ἀπαραλόγιστον »λογιστὴν· τοῦτον ὁμοούσιον Πατρὶ, τοῦτον σύνθρονον, τοῦτον ὁμό»τιμον. Οὐκ ἄρα καὶ σοὶ ταῦτα, ὦ φιλόσοφε, συνδοκεῖ;» ὁ μὲν ἤρετο, ὁ δὲ, ὥσπερ οὐ τὴν αὐτὴν ἔχων καὶ προτοῦ ψυχὴν, οὐδὲ τὴν αὐτὴν καὶ φρένα καὶ γλῶτταν, οὕτω ῥᾳδίως ἀντιτιθεμένην καὶ ἀντερίζουσαν, ἐπλήγη μὲν τὴν ἀκοὴν, ἐξεπλάγη δὲ τὴν ψυχὴν, τὴν φωνὴν ἐσβέσθη· καὶ ἀποσιωπήσας ἐφ' ἱκανὸν, οὐδὲν ἕτερον ἔσχε φθέγξασθαι, ἢ, ὅτι καμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ. Ὁ δὲ ἅγιος· ἄγε οὖν, ἔφη, ἐπεὶ καὶ ταῦτά μοι συνομολογεῖς, μηδὲ τοῖς ἔργοις διαφωνῶν ἔσο· ἀλλ' εἰδὼς τίς τε ὁ Θεὸς, καὶ τὸ πᾶν τοῦτο πεποιηκὼς, ἀναστὰς τῇ ἐκκλησίᾳ πρόσελθε, καὶ τὸ σημεῖον τῆς ὀρθοδοξου λάμβανε πίστεως. Ταῦτα ἐπεὶ διήκουσεν ὁ φιλόσοφος, μετέβαλε μὲν αὐτίκα πρὸς ἀκριβῆ θεοσέβειαν, ἐπιστραφεὶς δὲ πρὸς τοὺς μαθητὰς καὶ τοὺς ἄλλους τῶν λεγομένων ἀκροατὰς· μέχρι μέν, ἔφη, ὦ ἄνδρες, ἐν λόγοις ἦν ὁ ἀγὼν, ἀντεῖχον τῇ τέχνῃ κἀγὼ· ἡνίκα δὲ λόγοις μὲν οὐκέτι, θεία δὲ δύναμις ἀντιθετος ἦν, καὶ ἄῤῥητόν τινα καὶ ἀπόῤῥητον ἐν ἁπλότητι ῥημάτων ἐπεδείξατο τὴν ἰσχὺν, τότε δὴ τὴν ἧτταν οὐκ ἐπαισχύνομαι, ἀλλὰ καὶ ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἥδεως συμβουλεύσαιμι ἄν, εἴτις μὴ τοσοῦτον σκαιὸς, ἢ περὶ τὴν ἀλήθειαν κακουργεῖν ἐθέλων, πιστεῦσαι Χριστῷ, καὶ τῷ γέροντι ἕψεσθαι τούτῳ· ᾧ ἡμὲν γλῶττα πάντως ἀνθρώπου, οἱ δὲ λόγοι Θεοῦ. Πόσην εἶεσθε τοῦτο τοῖς μὲν ἀρειανίζουσιν αἰσχύνην, τοῖς εὐσεβοῦσι δὲ τιμὴν ἅμα περιποιῆσαι καὶ ἡδονὴν; εἴ γε τοσοῦτον οἱ μὲν ἐκράτησαν, οἱ δὲ ἡττήθησαν, ὡς μικροῦ πάντων τῇ ὀρθῇ προσθεμένων δόξῃ, ἓξ μόνους τῷ Ἀρείῳ περιλειφθῆναι, μερίδα φαύλην καὶ μοχθηρὰν ἐσομένους τοῦ πατρὸς τοῦ ψεύδους, καὶ τοῦ ἐξ ἀρχῆς ἀσπόνδου τῆς ἀληθείας ἐχθροῦ· οὕτω φανερῶς τῶν κακοδόξων ἐληλεγμένων, ὑπέστρεφον οἱ ἐπίσκοποι, ἡδόμενοι μὲν τῇ νίκῃ, ἐκπληττόμενοι δὲ τῷ θαύματι, καὶ Θεὸν δοξάζοντες ἐπ' ἀμφοῖν τούτοιν, οἷς τε τὰ παράδοξα ἐθαύσαντο, καὶ οἷς τῆς Ἀρείου μανίας περιεγένοντο· καὶ ὁ κρατῶν δὲ αὐτὸς, ὅλως ἐν ἐκπλήξει τῷ θαύματι γεγονὼς, πάσῃ τε τιμῇ τὸν ἄνδρα τιμᾷ, καὶ ἵλεω δι' αὐτοῦ τὸν Θεὸν ἔχειν ἐξαιτησάμενος, οἴκαδε παραπέμπει.

Ἐν ὅσῳ δὲ ταῦτα ἐτρίβετο, θνήσκει μὲν τῷ ὁσίῳ ἐξάπινα ἡ θυγάτηρ, ἥτις αὐτῷ ἐκ τιμίου γενομένη τοῦ γάμου, καὶ τῆς γε καθ' ὥραν ἡλικίας παρὰ πολὺ τὸ σῶφρον ὡραιοτέρη ἐπιδειξαμένη, παρθένος τὸν ὅλον διήγαγε χρόνον, χρῆμα τῷ καθαρῷ νυμφίῳ καὶ τῶν οὐρανίων θαλάμων ἄξιον. Σπυρίδων δὲ ὁ μέγας ἐπανελθών, καὶ τὴν συμφορὰν ἐνεγκών, ὥσπερ ἄρα τὸν τοιοῦτον εἰκὸς ἐνεγκεῖν· ἐπεὶ αὐτῷ ἄρτι ἐπιδεδημηκότι γυνή τις προσῆλθε περιπαθῶς ἔχουσα καὶ ὀδυρομένη, ἀνθ' ὧν ἔτι αὐτοῦ τῇ θυγατρὶ περιούσῃ κόσμιόν τι χρυσοῦν παρέθετο, κἀκείνης ὀξεῖαν οὕτω τὴν τοῦ θανάτου τομὴν δεξαμένης, τὸ πιστευθὲν παρ' αὐτῇ ἔμεινεν, ἐμέλησε τῷ ὁσίῳ· καὶ πῶς γὰρ οὔ; τοιαύτην ἔχοντι φιλάνθρωπον τὴν ψυχήν, καὶ ὥσπερ εἰ μὴ ἀνασωθείη τῇ παρακαταθεμένῃ τὸ ἴδιον, ἐσφάλθαι περὶ τὸ δίκαιον κρίνοντι καὶ αὐτὴν οἰομένῳ. Ὡς οὖν ἅπαντα τὸν αὐτῆς οἶκον ἀκριβῶς διαψηλαφήσας, οὐδαμοῦ τὸ ζητούμενον εἶχεν εὑρεῖν, τί γίνεται, καὶ ποῖον ἡ πολύτροπος τοῦ Θεοῦ σοφία τὸ πέρας ἐπάγει; πρόσεισι τῇ σωρῷ· καθάπερ ὁ ἐμὸς Χριστὸς ἐπὶ Λαζάρῳ τὸ πρότερον, τούτου πάντως καὶ αὐτὸς μαθητὴς ὢν, καὶ ὡς οἷόν τε τὰ ἐκείνου μιμούμενος· εἰποντο δὲ αὐτῷ καὶ τῶν συνόντων πολλοί. Εἶθ' ὥσπερ οὐκ ἐν τάφῳ, ἀλλ' ἐν θαλάμῳ τῇ θυγατρὶ ἔτι ζώσῃ περιτυγχάνων, πρὸς ὄνομα καλέσας εἰς ἀκοὰς πάντων, οἳ ἔτυχον αὐτῷ συμπαρόντες· τέκνον, εἶπεν, Εἰρήνη, ποῦ τὸ παρακατατεθέν σοι τοῦτο δὴ κόσμιον; ἡ δὲ εὐθέως, καθάπερ ἐξ ὕπνου τινὸς μαλακοῦ διαγρηγορήσασα, καὶ ὑγιᾶ σώζουσα καὶ τὴν πνοὴν ἅμα καὶ τὴν φωνήν· κύριέ μου, φησὶ, παρὰ τῷδε τῷ μέρει τοῦ οἴκου τὸ χρυσοῦν ἐκεῖνο κατετέθη μοι κόσμιον· ἔκπληξις ἐπὶ τούτοις ἐλάμβανε τοὺς παρόντας. Εἶτα καὶ θαυμά τι ἕτερον ἐπικολούθει τῷ θαύματι· ὥσπερ γὰρ ἐκεῖνος ζωῆς τε καὶ θανάτου κύριος ὤν, καὶ ταύτῃ πρὸς τοῦ ποθουμένου Χριστοῦ τῇ δωρεᾷ τιμηθείς, ὁ κατὰ χρείαν ἐπὶ βραχὺ ζωώσας, θνήσκειν ἐκέλευε πάλιν, καί, κάθευδε τέκνον, ἔφασκε, τὸ λοιπὸν ἕως ὁ κοινὸς Δεσπότης μετὰ πάντων κοινῶς ἐγερεῖ σε· αὐτὸς δὲ παρ' ἐκεῖνον δὴ τὸν οἰκίσκον τῆς θυγατρὸς ἀφικόμενος, καὶ ἥπερ ἔφη, τὸ κόσμιον εὑρηκώς τε καὶ ἀνελόμενος, ἐγχειρίζει τῇ γυναικί, αὔξησιν οὕτω καὶ πίστωσιν τῷ θαύματι παρασχών· καὶ ταῦτα μὲν ἐν τῇ νήσῳ.

Ἵνα δὲ μηδὲ Ἀντιόχεια τῆς Σπυρίδωνος ἀρετῆς τε καὶ χάριτος ἀθέατος ᾖ, μηδ' ἀμάρτυρος, καὶ τοῦτο τελεῖται παραδόξως

ὅσον καὶ θαυμαστῶς· τὸ δὲ ὅπως, ὁ λόγος ἤδη δηλώσει. Ἀπολείπει μὲν ἄρτι Κωνσταντῖνος ὁ μέγας μετά γε τῆς ἀρχῆς καὶ τὸν βίον· διαιροῦνται δὲ ταύτην οἱ τούτου υἱεῖς, καὶ Κωνστάντιος μὲν τῆς ἑῴας ἄρχειν λαχὼν, εἰς τὴν μεγάλην τῆς κοίλης Συρίας πόλιν, τὴν Ἀντιόχου φημὶ, διατρίβων ἦν. Νόσος δὲ αὐτῷ ἐπισκήπτει μάλα δεινὴ, ἰατρῶν τέχνην καὶ χεῖρας ἐλέγχουσα, ταύτῃ τοι καὶ τῶν ἄλλων πάντων ἀπογνοὺς, ἐδεῖτο μόνον τοῦ καὶ ψυχὰς εἰδότος καὶ σώματα θεραπεύειν· συντονώτερον δὲ χρωμένῳ τῇ προσευχῇ, νυκτὸς ἐφίσταται ὄψις, ἄγγελος ὑποδεικνύων αὐτῷ πολλῶν ἁγίων ἐπισκόπων χορὸν, οἷς ὁ βασιλεὺς ἀτενίσας, ἐν μέσοις αὐτοῖς ὁρᾷ δύο τινὰς ἱσταμένους, ἐπισκόποις μὲν καὶ αὐτοὺς ἐοικότας, προστάτας δὲ τῶν ἄλλων καὶ ἀρχηγοὺς εἶναι δοκοῦντας. Τούτους αὐτῷ ὁ ἄγγελος παραδείξας, μόνους ἔλεγεν εἶναι τῆς αὐτοῦ νόσου θεραπευτάς· ἐπεὶ δὲ καὶ ὁ ὕπνος ἀνῆκεν αὐτὸν, διεσκοπεῖτο μὲν τίνες ἂν οὗτοι εἶεν, οὐκ εἶχε δὲ τὸν ὀνειρον συμβαλεῖν· πῶς γάρ; ὧν μήτε κλῆσις μήτε πατρὶς ἐκείνῳ γνώριμος. Ἄλλως τε καὶ θατέρου τούτων φανέντος μὲν αὐτῷ κατ' ἐπίσκοπον, οὕπω δὲ τότε γενομένου ταῖς ἀληθείαις, ἀλλὰ τὸ μέλλον ἔσεσθαι ὡς ἤδη φθάσαν γενέσθαι παρεστηκὸς· πρὸς ταῦτα τοίνυν διαπορούμενος ὁ κρατὼν, καὶ ἅμα μὲν κινούμενος καὶ τῇ ὄψει, ἅμα δὲ καὶ ταῖς ὀδύναις ὑποβαλλόμενος, οὐκ εἶχεν ὅτι καὶ δράσειε. Τὸ δὲ τῆς πίστεως ἐκείνῳ θερμὸν κάλλιστα ὑπετίθει, μὴ ἄνοῦτω ματαίως τὴν ὅρασιν ἐπιστῆναι· ὅθεν καὶ πείθει φρονῆσαι βασιλικόν τι καὶ γενναῖον καὶ πρὸς τὸ νῦν ἔχον· τοὺς γὰρ ἁπανταχοῦ τῆς Ρωμαίων ἀρχῆς ἐπισκόπους, ὅσοι βίου ἐπιμέλονται φιλαρέτου, ἐκέλευε συνδραμεῖν, ἵν', ὁμοῦ συνελθόντων, καὶ οἱ φανέντες αὐτῷ δύο γνώριμοι καταστῶσι· γράμματα οὖν κατὰ πᾶσαν τὴν ὑποτελῆ Ρωμαίοις ἐπεπέμπετο, καὶ τοὺς ἐπισκόπους ἐκάλει· καὶ ἐπεὶ τῶν ἄλλων ἀφικομένων οὐδεμία ἦν τῶν ζητουμένων ἐπίγνωσις, πέμπει καὶ πρὸς τὴν Κυπρίων νῆσον, Σπυρίδωνα καὶ τὴν ἐκείνου χάριν μετακαλούμενος. Ὁ δὲ προήδει μὲν πάντα τὰ κατὰ τὸν κρατοῦντα τῷ πνεύματι· ἐσήμανε γὰρ αὐτῷ ἕκαστα δι' ὀνείρων ἡ χάρις. Ἐπεὶ δὲ καὶ οἱ βασιλέως λόγοι συνωμολόγουν, οὐκ ἀβουλήτως πρὸς αὐτὸν ἀτρέχει, ἐπαγόμενος καὶ τὸν ἄνδρα, ᾧ κατὰ τὴν φανεῖσαν ὄψιν συμπαρέστη τῷ βασιλεῖ· τούτῳ Τριφύλλιος ἦν ὄνομα· οὕπω μὲν τῆς ἱερωσύνης ἠξιωμένον, ἄνωθεν δὲ καὶ πρὸ τῆς ἀνθρωπίνης ψήφου τὴν χειροτονίαν ἀπειληφότα. Εἰσῆει γοῦν ἅμα τούτῳ Σπυρίδων εἰς τὰ βα-

σίλεια, λιτῶς πάνυ καὶ ἀφελῶς διεσκευασμένος· ἡ μὲν γὰρ ἐσθὴς δεινῶς εὐτελής, ῥάβδον δὲ βαΐνην εἶχεν ἡ δεξιά, καὶ τιάραν ἡ κεφαλὴ· πρὸς δὲ καὶ ἀγγειδιόν τι κεραμεοῦν ἐξήρτητο τοῦ τραχήλου, ὥσπερ οὖν ἔθος τοῖς τὴν ἁγίαν πόλιν οἰκοῦσιν, ἔλαιον τοῦ θείου Σταυροῦ φέρειν προειρημένοις. Ἐπεὶ δὲ ἔδει μὴ τῷ ἀπερίττῳ μόνον καὶ εὐτελεῖ, ἀλλὰ καὶ τῇ πρὸς τὰς ὕβρεις ἐπιτεικείᾳ τὸν ἑαυτοῦ δεσπότην μιμήσασθαι· εἷς τις τῶν ἐν βασιλείοις, τῆς εὐτελείας αὐτὸν διαμυκτηρίζων, καὶ ἄκοσμον εἶναι οἰόμενος τὸ εἰς βασιλέα οὕτως ἔχοντα εἰστέναι, ραπίσματι τὴν ἱερὰν ἐκείνην ἔπαισε σιαγόνα· σκηπτὸς δὲ ἀνωθεν οὐκ ἐπῆλθε κατὰ τῆς τοῦ παίσαντος κεφαλῆς, ἀλλ' ἠνείχετο πάντως ὁ καὶ ἐφ' ἑαυτοῦ τοῦτο θεοπρεπῶς ἀνασχόμενος· ὁ δέ, ὢ τῆς γενναίας ἐκείνης ψυχῆς καὶ πρὸς τὸ παθεῖν φιλοτιμοτάτης, παρεχώρει καὶ τῆς ἑτέρας τῷ ὑβριστῇ, πληρωτὴς ὢν εὐτρεπὴς τοῦ δεσποτικοῦ νόμου, καὶ νικῶν τῇ πρὸς τὸ πάσχειν ἑτοιμασίᾳ περιττὴν ἐκεῖνος ὀξυχειρίαν καὶ ἰταμότητα. Εἶλε τοῦτο τὸν ὑβριστὴν, καὶ ἰσχυρῶς ἐδυσώπησεν· ἄλλως τε δὲ καὶ τῷ μαθεῖν ἐπίσκοπον εἶναι τὸν ὑβρισθέντα· ὅθεν δὴ καὶ ματαβαλὼν ἱκέτης γίνεται καὶ συγγνώμην αἰτεῖται, ὀλίσθημα θράσους ἀπερισκέπτου θερμότητι μετανοίας θεραπεῦσαι φιλονεικῶν. Καὶ ὃς, μεμάθηκεν γὰρ, ὥσπερ τὰς ὕβρεις φέρειν, οὕτως ἀφιέναι καὶ τὰ ὀρλήματα, μᾶλλον δὲ καὶ ἀγαθοῖς ἀμείβεσθαι τὸν λελυπηκότα· λόγοις, οἷς εἶχεν, εὐεργετεῖ, πατρικῶς παραινέσας, καὶ βελτίω τὴν αὐτοῦ ψυχὴν θέμενος. Ἀφ' οὗ δὴ καὶ οἱ τὰς πρώτας ἐκ βασιλέως τιμὰς φέροντες, δι' αἰδοῦς τὸν ἄνδρα ποιούμενοι, προέπεμπόν τε, καὶ εἰς βασιλέα, ὡς προσῆκον ἦν, ἄγουσιν. Οὐ δίκαιον δὲ καὶ τὰ μεταξὺ παρελθεῖν, ἀξιοσπούδαστα ὄντα, καὶ πολὺ τὸ ὠφέλιμον ἐνθεῖναι ταῖς φιλοσόφοις ψυχαῖς δυνάμενα. Ὁρῶν ὁ μέγας τὸν ἑαυτοῦ φοιτητὴν Τριφύλλιον τέλειον μὲν ὅσον οὕπω καὶ κατ' αὐτὸν ἐσόμενον, τὸ δὲ νῦν ἔχον, ἔτι τὰ μεγάλα τοῦ βίου καὶ τοῖς πολλοῖς περιμάχητα μὴ μικρὰ εἶναι ὑπειληφότα, ἅτε δὴ νέον ἔτι, καὶ τὴν ἡλικίαν ἔχοντα πρὸς τοῦτο συναιρομένην, καὶ θαυμάζοντα μὲν τὰ ἐν βασιλείοις, ἐσθῆτας φημὶ λαμπρὰς, καὶ χρυσοῦ περιλάμψεις, καὶ πρό γε πάντων αὐτὸν τὸν κρατοῦντα ἐφ' ὑψηλοῦ μὲν προκαθήμενον, φοβερὸν δέ τινα καὶ περίδοξον τῷ σχήματι κοθορώμενον· ἐπὶ πᾶσι τούτοις μετέωρον αὐτὸν ὁρῶν καὶ οἷον ἐξεστηκότα, καθάπερ λύων αὐτῷ τὸν ὕπνον καὶ οὓς εἶχεν ὕπαρ ὀνείρους, ἁψάμενος τῇ χειρὶ καὶ διασείσας· ἀλλ' ἐμοί, ἔφη, Τριφύλλιε, αὐτὸν

ἐκεῖνον δεῖξον τὸν βασιλέα· οὐδὲ γὰρ ὅστις οὕτως ἔχω μαθεῖν· καὶ αὐτὸς, τί ὁ μέγας ἠβούλετο μὴ συνείς· οὗτος, ἔφη· τῇ χειρὶ δείξας τὸν βασιλέα· τί οὖν; εἶπε Σπυρίδων· θαυμαστότερος οὗτος τῶν ἄλλων, εἰμὴ καὶ δικαιότερον αὐτὸν εἴποις, ἀπὸ τοῦ κόμπου καὶ τῆς περιφανείας; οὐχὶ ὁμοίως μὲν καὶ αὐτὸς ἀγνῶτι πέντητι καὶ ἠμελημένῳ τεθνήξεται; ὁμοίως δὲ τάφῳ παραδοθήσεται καὶ φθορᾷ; παραπλησίως δὲ τῷ ἀδεκάστῳ κριτῇ παραστήσεται; τί τὰ ῥέοντα ὡς ἑστῶτα τιμᾷς, καὶ τὰ μηδὲν ὄντα θαύματος ἀξιοῖς παρὸν τὰ ἄυλα μᾶλλον ζητεῖν καὶ ἀΐδια καὶ τῆς ἀφθάρτου καὶ οὐρανίου δόξης μόνης ἐρᾷν; Ἐνῶ δὲ πρὸς τὸν Τριφύλλιον ἔλεγε ταῦτα, ὁ βασιλεὺς ἐξ ἀπόπτου τοῦ βήματος ἐπιβάλλει τῷ ὁσίῳ τοὺς ὀφθαλμούς· καὶ πρῶτα μὲν αὐτὸν τὸ σχῆμα καὶ ἡ ἀναβολὴ ἐκεσπᾶτο, τῇ ὁραθείσῃ μορφῇ συνᾴδουσα· οὕτω γὰρ ἐδόκει καὶ ὅναρ αὐτῷ ἐπιστῆναι, καὶ ἦν πάντα δὴ τὰ αὐτὰ, ἡ ῥάβδος, ἡ τιάρα, τὸ ἐξηρτημένον τοῦ τραχήλου σκεῦος, καὶ ἡ στολή. Τοῦτον μὲν οὖν εὐθὺς αὐτόθεν ἀνέγνω· τὸν δὲ Τριφύλλιον οὐκ εἶχεν ὅπως εἰκάσοι· οὐδὲ γὰρ ἔμελεν αὐτῷ περιεργάσασθαι τὴν ἰδέαν, ἐπεὶ τοῦτον ἐπίσκοπον οὐχ ἑώρα, καθάπερ οἱ ὕπνοι αὐτὸν διεσήμαινον. Ὅθεν καὶ τοῦ θρόνου παραχρῆμα διαναστὰς χωρεῖ πρὸς τὸν μέγαν· ἡ γὰρ ἐπιθυμία τῆς ἀναῤῥώσεως τῶν ἄλλων ἐποίει καταφρονεῖν· ἀμέλει καὶ βασιλικὸν οἶκον, καὶ τὸ τῆς ἀρχῆς μέγεθος, μικρὰ καὶ δεύτερα τῆς πρὸς τὸν μέγαν τιμῆς θέμενος, πάνυ ἀδόξως αὐτῷ καὶ ταπεινῶς προσφέρεται, θηρώμενος οἷκτον τῇ εὐτελείᾳ καὶ δεινὺς ὅσον τὸ μέσον, προσκαίρου φημὶ βασιλέως καὶ ἀνδρὸς βασιλεῖ δουλεύοντος αἰωνίῳ· ὑποκλίνας οὖν ἐκείνῳ τὴν κεφαλὴν, οὐν δάκρυσιν ἐλεοῦτο, καὶ τὴν εὐχὴν ᾔτει τὴν παρ' αὐτοῦ καθάπερ τι φάρμακον ἰσχυρότατον, ἅπαν τὸ λυποῦν ῥᾳδίως λύειν δυνάμενον· ὡς οὖν ἡ χεὶρ ἐκείνου τῆς τοῦ βασιλέως ἥπτετο κεφαλῆς, καὶ ἡ νόσος παραχρῆμα ἐφυγαδεύετο, καὶ ὁ βασιλεὺς ἀνεῤῥώννυτο, τίς ἂν τὰ ἐπὶ τούτοις τῶν παρόντων καὶ αὐτοῦ βασιλέως ἐκδιηγήσαιτο; ὅπως παρ' ὅλην δὴ τὴν ἡμέραν ἑορτὴν ἦγον, καὶ μικροῦ ἐσκίρτων, καὶ καθεκτοὶ οὐδόλως ὑφ' ἡδονῆς ἐτύγχανον. Μόνος Σπυρίδων ἐν τοῖς ἁπάντων χείλεσιν ἔκειτο, Σπυρίδων ἐλαλεῖτο μόνος, Σπυρίδων ὡρᾶτο, Σπυρίδων ἦν πᾶσι τὸ σπουδαζόμενον· ἆρ' οὖν τὸ μὲν σῶμα τῷ βασιλεῖ ἐῤῥώτο, τὸ δὲ καὶ τὴν ψυχὴν αὐτὸν ὑγιῶς ἔχειν ὡς μικρόν τι καὶ παροπτέον τῷ ἰατρῷ παρεβλέπετο; καὶ ποῦ τοῦτο τῆς ἱερᾶς ἐκείνου ψυχῆς; ἀλλὰ καὶ ταύτῃ τὸ κατάλληλον πάντως ἐτίθη φάρμακον, μεμνη-

σθαι μὲν τῆς εὐεργεσίας τοῦ θεοῦ παραινέσας, εἶναι δὲ καὶ πρὸς τοὺς ὑπὸ χεῖρα, τοῖς πταίουσιν μὲν καὶ λελυπηκόσι συγγνωμονικόν τε καὶ ἵλεω, τοῖς δ' ἄλλως ἔχουσιν εὐεργετικὸν καὶ φιλόδωρον· τοῖς δὲ καὶ τῶν ἀναγκαίων ἐστερημένοις πατρὸς αὐτοῖς καὶ κηδεμόνος τάξιν ἀποπληροῦντα, καὶ χεῖρα τούτοις καὶ σπλάγχνα φιλανθρωπότατα διανοίγοντα· ὅσῳ τῶν ἄλλων διαφέρεις, φησί, τοσοῦτον εἶναί σε χρὴ καὶ τὴν ἀρετὴν ὑψηλότερον· ἐπεὶ τὸν μὴ οὕτω πρὸς τοὺς ὑποχειρίους διακείμενον, τύραννον μᾶλλον ἢ βασιλέα καλεῖν δεῖ, οὐ τῆς ἐξουσίας μακαριζόμενον, ἀλλὰ τῆς ὑπεροψίας ἄθλιόν γε κρινόμενον καὶ μισούμενον. Ἐπὶ πᾶσι τὰ περὶ τὴν εὐσέβειαν ἀκριβῶς ἔχειν παρήνει, καὶ μηδέν, ὃ μὴ δοκεῖ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ μηδὲ βραχὺ παραδέχεσθαι· καὶ ταῦτα μὲν ὁ μέγας. Ὁ δὲ βασιλεὺς, ἀμείβεσθαι τοῦτον τῆς θεραπείας βουλόμενος, χρυσοῦ τι χρῆμα οὐκ εὐαρίθμητον ἐπεδίδου· τὸν δὲ χαριέντως εἰπεῖν πρὸς αὐτόν· οὐχ οὕτως ἔδει, ὦ βασιλεῦ, μίσει τὴν φιλίαν ἀμείβεσθαι· ἃ μὲν γὰρ ἐμοὶ πέπρακται διὰ σὲ, φιλοῦντός ἐστιν ἀτεχνῶς· τό τε τὴν οἰκίαν ἀπολιπεῖν, καὶ τοσοῦτον διαπλεῦσαι πέλαγος, χειμῶνός τε ὑπενεγκεῖν χαλεπότητα καὶ ἀνέμων ἐν ὕδασιν ἀγριότητα· τούτων οὖν ἐγὼ χρυσὸν εἰς ἀμοιβὴν παραδέξομαι τὸν κακοῦ παντὸς αἴτιον, καὶ ἅπαν δίκαιον εὐχαιρῶς λυμαινόμενον, ἐμαυτοῦ προδήλως κατηγορῶν καὶ μοχθηρίαν σαφῆ καταψηφιζόμενος; ταῦτα ἐκείνου λέγοντος, καὶ λαβεῖν οὐδὲν διατεινομένου, ὁ βασιλεὺς ἔτι μᾶλλον πρὸς τὸ δοῦναι καθίστατο βιαιότερος, αἰσχύνην ὥσπερ ἡγούμενος τὸ εὖ παθόντα μὴ ἀνταμείψασθαι τὴν εὐεργεσίαν, ἀλλὰ νόσον ἀποβαλόντα σώματος, εἰς καλοκἀγαθίαν ψυχῆς ἠττῆθῆναι. Ὅθεν καὶ μᾶλλον προσέκειτο, νικῆσαι πως οὕτω δοκῶν τὸν ἀήττητον. Καὶ πείθει μὲν ἐκεῖνον λαβεῖν· οὐ μὴν ὥστε καὶ μεῖναι παρ' αὐτῷ τὸ δοθέν· ὡς γὰρ τῷ βασιλεῖ συνταξάμενος ἐπανῆκε, ἅπαν αὐτὸ τοῖς περὶ τὰ βασίλεια διανέμει· ἔργῳ διδάσκων, ὅπως χρὴ καὶ αὐτοὺς πρὸς πλοῦτον καὶ χρήματα διακεῖσθαι, εἴπερ ἄρα τὸ ἐλευθέρους αὐτοὺς εἶναι βουλομένοις ἐστίν· ἡ γὰρ πολλὴ πρὸς ταῦτα ῥοπὴ καὶ τὸ λίαν ἡττᾶσθαι τῆς αὐτῶν κτήσεως τί ἕτερον, ἢ σαφὴς ἐθελοδουλεία; τοῦτο καὶ τὸν βασιλέα μαθόντα, μηκέτι θαυμάζειν, εἰπεῖν, εἰ ἀνὴρ οὕτος οὕτω βιοὺς, καὶ θαυμάτων οὕτω μεγάλων αὐτουργὸς δείκνυται. Τοῦτο οὖν ἀπώνατο τῶν Σπυρίδωνος λόγων ὁ βασιλεύς· καὶ πρὸς φιλανθρωπίαν ἔβλεπε καὶ χρηστότητα, ὥστε δεομένοις πᾶσι καὶ χήραις καὶ ὀρφανοῖς, ταῖς μὲν τὴν χηρείαν, τοῖς δὲ τὴν ὀρφανίαν, τοῖς δὲ καὶ τὴν ἀπορίαν μεγαλοψύχως παραμυθήσασθαι· καὶ πᾶσι δὲ τοῖς τῆς ἐκκλησιαστικῆς μερίδος, ἱερεῦσί τε καὶ ὅσον ἐν διακόνοις, πρῶτος οὗτος νομοθετεῖ τὴν ἀτέλειαν· ἄτοπον εἶναι κρίνας, τοὺς ἀθανάτῳ βασιλεῖ πρὸς ὑπηρεσίαν κεκληρωμένους θνητῷ φόρους κατατιθέναι· καὶ ταῦτα μὲν οὕτως ἔσχεν· ὁ δὲ λόγος βούλεται καὶ ἄλλων ἐπιμνησθῆναι θαυμάτων, φαιδρῷ τῷ τῶν χαρίτων ἄνθει κεκοσμημένων, καὶ πολλῆς πνεόντων μετὰ τοῦ ὠφελίμου καὶ ἡδονῆς.

Ἐξιὼν γὰρ τῶν βασιλείων ὁ ἅγιος ἐπιξαινοῦται τῶν φιλοχρίστων τινί· πρόσεισι δὲ αὐτῷ γυνὴ βάρβαρος καὶ γλώσσης Ἑλληνικῆς ἀμαθής· ἣ καὶ νεκρὸν ἑαυτῆς τὸ παιδίον ἐν χεροῖν φέρουσα, τοῖς ποσὶ τοῦτο παρατίθησι τοῦ ἁγίου, καὶ αὐτὴ δὲ ἅμα προσκατεβάλλετο, οἰκτρόν τι καὶ γοερὸν ἀνακλαίουσα· καὶ ἀσύνετα μὲν τοῖς παροῦσι διὰ τὸ βάρβαρον λέγουσα, μόνοις δὲ τοῖς δάκρυσι φθεγγομένη, καὶ ὅτι τοῦ παιδὸς χάριν ὁ θρῆνος ἔνδηλον καθιστᾶσα, καὶ ὡς αἰτεῖται δὲ παρὰ τοῦ ἀρχιερέως τὴν ἀναβίωσιν· ἐπικλᾶται τούτοις ὁ συμπαθέστατος τὴν ψυχὴν, καὶ διττοῖς πράγμασι, μετριότητι φρονήματος δηλαδὴ, καὶ τῇ πρὸς τὴν γυναῖκα συμπαθείᾳ, μερίζεται· ὅτε μὲν γὰρ πρὸς τὸ πάθος αὐτῆς καὶ τὸν τῶν σπλάγχνων ἐμπρησμὸν ἔβλεψεν, ἐπεχείρει τῷ θαύματι, καὶ ὁρμῆς ἥπτετο διεγεῖραι θεοῦ πρὸς τὴν τοῦ παιδὸς ἀναβίωσιν· ἡνίκα δὲ πάλιν πρὸς τὸ μέγεθος ἀπεῖδε τῆς ἀξιώσεως, μέτριος ὢν φρόνημα, καὶ τὴν καρδίαν οὐχ ἥκιστα εὐλαβὴς, ὑπεχώρει καὶ ἀνεβάλλετο, καὶ ἐταμὸν ἔκρινε τὸ ἐγχείρημα· διὰ τοι τοῦτο σύμβουλον ἕνα τῶν μεθ' ἑαυτοῦ συμπαραλαβεῖν ἔγνω. Ἀρτεμίδωρος οὗτος ἦν, ἐν διακόνοις ἄρτι τελῶν· ἀνὴρ, ᾧ πάντα μὲν φιλοπόνως τὰ τῆς ἀρετῆς ἤσκητο, ἓν δέ τι πρὸς πάσας αὐτῷ καθαπερεί τι χρῶμα κοινὸν ἐκέκρατο, τὸ μηδενὶ δῆλον μηδαμῶς κατορθοῦντα γίνεσθαι· τοῦτον οὖν ὁ ὅσιος ἤρετο περὶ τοῦ, τί δήποτε ποιητέον αὐτοῖς· καὶ ὃς πρὸς αὐτὸν, ὃ κἀκεῖνον ἔδει τοῦτον ἀκοῦσαι· τί γὰρ, φησίν, ὦ πάτερ, καὶ ἥρου; τί δὲ ἄλλο ποιητέον, καὶ μάλιστα σοί, ἢ τὸν ζωοδότην ἐπικλητέον Χριστὸν, ὃς ἤδη καὶ ἐκ πολλῶν δῆλος γέγονε τῶν σῶν ἀκούειν εὐχῶν; ἄλλως τε δὲ καὶ εἰ βασιλεὺς διὰ σοῦ σέσωσται, πένητες δήπου καὶ ἄδοξοι παραπτέσι κριθήσονται; πείθεται τῇ καλλίστῃ συμβουλῇ ὁ ἀρχιερεύς· καὶ οἴκτῳ διαθερμανθεὶς τὴν καρδίαν, ὑπόπλεώς τε τοὺς ὀφθαλμοὺς δακρύων γενόμενος, κλιθεὶς τοῖς γόνασιν ἐπὶ γῆν, καὶ δάκρυσιν αὐτὴν διαβρέξας, βραχύ πάνυ θερμόν τι καὶ πεπονθὸς, καὶ Χριστοῦ δεῖται φιλανθρώπως τοῦ ἀγαθοῦ, τῇ ταλαιπώρῳ γυναικὶ τὸν παῖδα ζωῶσαι, καὶ μητέρα δεῖ-

ξαι, κατὰ τὸ ἱερὸν λόγιον, ἐπὶ τέκνῳ εὐφραινομένην· ὁ τοίνυν δι' Ἐλισσαίου καὶ Ἡλιοῦ τῷ τῆς Σαραφθίας παιδὶ καὶ τῆς Σωμανίτιδος πνοὴν ἐνθεὶς, καὶ τὸ ζῆν χαρισάμενος, αὐτὸς πάλιν καὶ Σπυρίδωνος ἦκουε· καὶ τὸ παιδίον νεκρὸν κείμενον, ζῶν ὥρᾶτο θαυμαστῶς καὶ κινούμενον, καὶ οἷα παῖς ἐν ὀφθαλμοῖς μητρῴοις κλαυθμυριζόμενον· δακρύων ὑφ' ἡδονῆς ἐπλήσθην ἐγὼ τὰ ὄμματα· οὕτω γάρ μου διέθηκε τὸ λεχθησόμενον τὴν ψυχὴν, εἰς νοῦν ἐμπεσόν· ἀκούοιτε δὲ καὶ ὑμεῖς· ὡς γὰρ τὸ φίλτατον ἡ μήτηρ ζῶν ἐθεάσατο· ὦ τῶν σῶν κριμάτων Χριστὲ τῶν ἀῤῥήτων· τὴν ὑπερβολὴν οὐκ ἐνεγκοῦσα τῆς ἡδονῆς, παρὰ τῇ γῇ πεσοῦσα διαπεφώνηκεν· ἔδειξε τὸ πραχθὲν, ὅτι τὸ, μηδὲν ἄγαν, ἄγαν ἀτεχνῶς ἄριστον· ἰδοὺ γὰρ οὐ θανάσιμον λύπης μόνον ὑπερβολὴν, ἀλλὰ καὶ χαρᾶς ἔγνωμεν ἀμετρίαν· πεπόνθατε καὶ ὑμεῖς τὴν ψυχὴν, οἶδα, ἐξ ἡδονῆς εἰς λύπην μεταπεσόντες· φύσει γὰρ ἀνθρώποις τὸ συμπαθὲς καὶ φιλάνθρωπον· ἀλλ' ἐγγὺς ὁ μέγας, εἰς χαρὰν ὑμῖν μεταβαλεῖν τὴν κατήφειαν· πείθεται γὰρ καὶ αὖθις Ἀρτεμιδώρῳ, καὶ πρὸς τὸ δοῦναι καὶ τῷ παιδὶ τὴν μητέρα ὁ μετριόφρων ἐφέλκεται· πρὸς οὐρανὸν οὖν ἀπιδὼν, καὶ τὸν ἐν αὐτοῖς κατοικοῦντα Κύριον εἰς καρδίαν λαβὼν, ἐκείνου τε δεηθεὶς, τοῦ τοῖς νεκροῖς ζωὴν ἐμπνέοντος, καὶ τῷ βουλήματι μόνῳ πάντα μεταποιοῦντος καὶ μεταβάλλοντος, τῇ κειμένῃ· ἀνάστηθι, λέγει, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· ἡ δὲ παραχρῆμα, καθάπερ ὕπνῳ μᾶλλον ἢ θανάτῳ κατεσχημένη, ἀνέστη τε καὶ παρέστη αὐτῷ, καὶ τὸ παιδίον ἐπὶ τῶν ἀγκαλῶν εἵλῃφε, κἀκεῖνο ζῶν ἦν, ὥσπερ εἴρηται, καὶ τοῖς μητρικαῖς ὠλέναις παρασκιρτῶν, ταῦτα ὁ μὲν μέγας διὰ μετριοπαθείας, ὥσπερ ἔφην, ὑπερβολὴν ἀνέκφορα τοῖς πολλοῖς ἠβούλετο μεῖναι. ἀμέλει καὶ Ἀρτεμιδώρῳ πολλὴν σιωπὴν, καὶ δι' ἐκείνου τῇ γυναικὶ ἐντέλλεται· ἀλλ' ὁ Ἀρτεμίδωρος μετὰ τὴν αὐτοῦ τελευτὴν, οὐ κρίνας ὅσιον, ἄκουσμα οὕτω καλὸν, μᾶλλον δὲ θαῦμα, ζημιῶσαι τοὺς φιλοθέους, δῆλον αὐτὸ ποιεῖ, καὶ πιστῶν ἀκοαῖς παραδίδωσι, καὶ ταῦτα μὲν οὕτως.

Ἐπεὶ δὲ καὶ ἐξ Ἀντιοχείας ὁ μέγας ἐπανῆκεν εἰς Κύπρον, προσελθών αὐτῷ τις αἴγας πρίασθαι τῆς ποίμνης βουλόμενος τὸν ἀριθμὸν ἑκατὸν, ἐπιτραπεὶς πρὸς τοῦ ὁσίου τὴν τιμὴν πρότερον καταθέσθαι, εἶτα λαβεῖν· αὐτὸς τῶν ἐννέα μόνον καὶ ἐννενήκοντα καταθεὶς, τῆς μιᾶς ὑπεκράτησε, κέρδος αἰσχύνης ἄμεινον εἰπὼν, τὸ τοῦ λόγου, ᾗ καὶ λύσιν οἰόμενος ἐν τούτῳ τὸ ἁπλοϊκὸν ἐκείνου καὶ κομιδῇ ἄπραγμον· ἐπεὶ οὖν εἶσω τῆς μάνδρας ἄμφω

γεγόνασιν, ὁ μὲν ἐκέλευεν, ὅσων δή καὶ κατέθετο τιμὴν, τοσαῦτας λαβεῖν· ὁ δὲ, μηδὲ οὕτω συνεὶς, ἑκατὸν τῆς μάνδρας ἐξήλαυνε. Μία γοῦν τῶν αἰγῶν, οἷα θεράπαινα ἀγαθὴ, αἰσθομένη, ὅτι μὴ ἀπέδοτο αὐτὴν ὁ δεσπότης, ὀξέως ἐπανῆει πάλιν καὶ πρὸς τὴν μάνδραν ἐχώρει· ὁ δὲ αὖθις ἀπῆγε καὶ πρὸς βίαν εἵλκεν ὁ ἀναιδής· ἐπράχθη τοῦτο δὶς ἤδη καὶ τρὶς τὸ θαυμάσιον· καὶ ἡ μὲν αἶξ ἐπανῆει, ὁ δὲ ἀνθεῖλκεν ὀργῇ καὶ χειρὶ καὶ ψυχῇ· τί οὖν; μηδὲν οὕτως ἀνόων, ἀφαρπάσας αὐτὴν χαμόθεν, καὶ τοῖς ὤμοις ἀναθεὶς, ἀπῆγεν· ἡ δὲ καὶ οὕτως, μέγα τι καὶ τραχύτατον ἐκβοῶσα, καὶ τοῖς κέρασιν αὐτὸν παίουσα, καὶ πρὸς τὴν κεφαλὴν ἐκείνου διακηρυττομένη, τὴν βίαν ἐκήρυττε φανερῶς, καὶ τὸν πλεονέκτην ὥσπερ ἐτιμωρεῖτο τῆς ἀδικίας, ὥστε καὶ τοὺς παρόντας ἐν ἐκπλήξει τὸ πρᾶγμα ποιεῖσθαι, τὴν αἰτίαν οὐκ ἔχοντας συμβαλεῖν· τὸν δὲ μέγαν, οὐ φανερῶς ἐλέγξαι βουλόμενον, ῥῆμα πρὸς τὸν ἀδικοῦντα· ὅρα τέκνον, εἰπεῖν, μήποτε οὐ μάτην ταῦτα τὸ ζῶον οὔτε μὴν ἀλόγως ἄχθεται τῇ ἀπαγωγῇ· ἀλλ' ὅτι μὴ καὶ αὐτῆς, λαθὼν, τὴν τιμὴν προκαθέτου· οὕτως ἐκεῖνος ἁλιεὺς πλησεῖς, νοῦν ἀνήνεγκε, καὶ εἰς αἴσθησιν ἐλθὼν οὗπερ ἔδρασεν, αὐτό τε διωμολόγει, καὶ συγγνώμην ᾐτεῖτο ἔπειτα καὶ τὴν ὑπὲρ τῆς μιᾶς τιμὴν καταθέμενος, οὐκέτι βοῶσαν εἶχε καὶ ἀντιβαίνουσαν, ἀλλ' ἡσύχως ταῖς ἄλλαις συνεπομένην· καὶ οὗτος μὲν οὕτως· ἕτερος δέ· ἀλλ' ἄνωθεν τοῦτο ἐρῶ.

Ἐν τῇ νήσῳ κώμη τίς ἐστιν, Ἐρυθρὰ καλουμένη, Κωνσταντίας δήπου τῆς μητροπόλεως οὐ μακράν· σταδίοις γὰρ ἀπέχει οὐ πλέον τριάκοντα· ἐνταῦθα κατά τινα χρείαν ὁ μέγας πεφοιτηκὼς, εἴσεισι τὸν ναὸν προσευχῆς χάριν, καὶ τῶν ἐπιχωρίων διακόνῳ τινὶ ἐπίτομον θέσθαι τὴν ἱερολογίαν ἐκέλευε· τῇ γὰρ ὁδῷ, πολλῇ οὔσῃ, πεπονηκὼς ἦν, καὶ μάλιστα θερείας οὔσης τῆς ὥρας, καὶ τοῦ καύσωνος τότε πολὺν αὐτῷ τὸν κάματον ἐμβαλόντος, ὁ δὲ σχολαίως μᾶλλον ἐχρῆτο, καὶ ἐκὼν παρέτεινε φιλοτίμως, δόξαν, ὡς ἔοικεν, ἐκ τοῦδε τὴν ματαίαν θηρώμενος· δριμὺ γοῦν ὁ φύσει πρᾳότατος ἐμβλέψας αὐτῷ· σιώπα, πληκτικῶς ἔφη· καὶ ὃς καθάπερ τινὶ γλωττοπέδῃ τὸ λέγειν ἀφαιρεθεὶς, ἄφθογγος ἦν, τὸν εἱρμὸν τῆς ὑπαδομένης εὐχῆς αὐτῷ τότε παραχρῆμα διακοπεὶς, ἀλλὰ τοῦ ὁσίου τὸ ἐλλεῖπον ἀναπληρώσαντος· προσπίπτει μετὰ τέλος ἐλεεινὸς, ὁ πρὸ μικροῦ παρ' ἑαυτῷ ὑψηλὸς, ἄφωνος, ὁ πρότερον πληθύνων ἐν ῥήμασι καὶ μὴ εὐκαίρῳ διατριβῇ χαίρων· τῶν δὲ τὴν κώμην οἰκούντων τοὺς παρόντας μὲν φόβον εἰσῆει, τοὺς δὲ

ἀπόντας ἡ φήμη συντρέχειν ἐποίει· καὶ πολλῶν εὐθὺς συῤῥεόντων, ἅμα μὲν θαύματι τοῦ μεγάλου, ἅμα δὲ καὶ τοῦ παθόντος ἐλέῳ, καὶ μάλιστα τῶν συγγενῶν αὐτοῦ τῶν οἰκείων· ὧν αὐτίκα καὶ δεομένων τῆς γενναίας ἐκείνης ψυχῆς, συγγνῶναι τῷ τὴν ἀφωνίαν καταχριθέντι, καὶ ὑπανεῖναι αὐτῷ τὸν δεσμόν, ὅρα τί ποιεῖ ὁ ἐμμελὴς ἐκεῖνος καὶ λίαν τὴν ἀρετὴν εὐάρμοστος. Τῇ γὰρ δεήσει μὲν ἐπικλώμενος, τῷ δὲ παιδείας ἕτει δεῖσθαι τὸν διάκονον ἀνθελκόμενος· ἑώρα γὰρ καὶ τοῦτο διὰ τοῦ πνεύματος· μερίζει τὴν ἐπιτιμίαν ἀστείως, καὶ χρῆσθαι μὲν τῇ γλώττῃ πρὸς πάντα λόγον ἀνίησιν, οὐ μὴν ὅλως ἐλευθερίως, οὐδ' οἷα πρότερον λαμυρᾷ ταύτῃ καὶ ᾠδικῇ συγχωρεῖ. ἀλλὰ ναρκώσῃ καὶ νωχελεῖ καὶ μικρά τινα προσπταισούσῃ· παιδεύων μηκέτι μέγα φρονεῖν ἐπὶ γλώττῃ, μηδ' ἐπιβρενθύεσθαι ῥήμασιν, ὁπότε μηδὲ αὐτοῖς πράγμασι τῷ σπουδαίῳ καλόν.

Τέλος ἐπιθεῖναι τῷ λόγῳ νῦν ἐβουλόμην, καὶ ἀγαπῆσαι τὴν σιωπήν, ἅτε μὴ τὴν γλῶτταν ἔχων θαύμασι τοιούτοις συνυψουμένην· ἀλλ' ἐπεὶ καὶ αὐτὸς ᾠδίνω τὴν ἐξήγησιν τῇ πρὸς τὸν μέγαν στοργῇ, καὶ ὑμᾶς οὐδὲν ἧττον ὁρῶν κεχηνότας πρὸς τὴν ἀκρόασιν, καὶ ἕτερα πάλιν τῶν θαυμάτων προσθήσω· βέλτιον ἡγησάμενος ὅπως ἂν ἔχω δυνάμεως ταῦτα διεξελθεῖν, ἢ οὕτω, καταλιπεῖν ἀμνημόνευτα, πολλὴν ὑμῖν δυνάμενα τὴν ὠφέλειαν παρασχεῖν.

Εἰσῆλθε ποτὲ ναόν τινα τῆς αὐτοῦ πόλεως ὁ θεῖος οὗτος ἀνήρ, τὰς ἑσπερίους ᾠδὰς ὡς ἔθος ἐπιτελέσων· οὕτω δέ πως συνενεχθὲν, οὐκ ἦν ὄχλος πρὸς τὸν ναόν· ἐπεὶ οὖν οὐδεὶς παρῆν ἕτερος, εἰμὴ ὅσον ἐν νεωκόροις καὶ λειτουργοῖς, κελεύει πλείονα τότε τῶν συνήθων ἀνάψαι τὰ φῶτα, καὶ αὐτὸς μὲν καταντικρὺ τοῦ θυσιαστηρίου φαιδρῶς ἵστατο, τὴν εἰωθυῖαν εἰρήνην ἐπιφωνῶν· ἐκεῖ δὲ καὶ τὸ πλῆθος οὐκ ἦν, ὡς εἴωθε τὴν ἀπόκρισιν ποιησόμενον, φωνή τις ἄνωθεν πολλῶν ἀκούεται μυριάδων, καὶ τῷ πνεύματί σου, ὑποφωνούντων, ἡ δὲ φωνὴ ἔμμουσός τις καὶ ἐναρμόνιος, καὶ πολὺ τὸ παραλλάττον ἔχουσα, ἢ ὥστε καὶ ἀνθρωπίνην εἰκάζεσθαι, ὡς δὲ καὶ ὁ διάκονος τὴν εὐχὴν ἐπετέλει, φόβῳ κατάσχετος γεγονὼς, ἤκουσε πάλιν, ὦ θαύματος, τὸ, Κύριε ἐλέησον, θεσπεσίως οὕτως ὑποφωνούμενον. Καὶ ἐπεὶ ἡ βοὴ αὕτη ἑαυτὴν καὶ τοῖς ἔξω δήλην ἐποίει, συνέθεον πάντες δεδιότες ὅμοῦ καὶ θαυμάζοντες· καὶ πρὶν μὲν εἴσω θυρῶν γενέσθαι, πέπληκτο αὐτοῖς ἡ ἀκοὴ τῇ βοῇ· ἐπεὶ δὲ καὶ εἴσω γεγόνασιν, οὐκέτι

οὐδενὸς ἤκουον, οὐδ' ἑώρων οὐδένα, ὅτι μὴ τὸν δίκαιον καὶ ὀλίγους τῶν ὑπ' αὐτὸν, οἵ γε καὶ αὐτοὶ ἔφασκον, μηδένα μὲν ἄχρι καὶ νῦν ὁρᾷν, φωνὴν δὲ προϊεμένων ἀκούειν θείας ἀγαλλιάσεως.

Οὐδὲ τοῦτο χρὴ σιωπῆσαι· καὶ ὅτι προσῆκον εἰπεῖν, ἀκούσαντες εἴσεσθε· ποτὲ γὰρ πάλιν τῆς ἑσπερινῆς αὐτῷ μεσούσης ᾠδῆς, τὸ τοῦ λύχνου μὲν ἔλαιον ἐξέλιπεν ἤδη, ἕτερον δὲ οὕτω τυχὸν οὐ παρῆν. τό γε μὴν θρυαλλίδιον ἐγγὺς ἦν ἀποσβῆναι· ὁ δὲ ἠθύμει, ἀτελῆ τὴν λειτουργίαν παραλυπεῖν οὐ βουλόμενος· αὐτίκα φῶν ἀοράτῳ δυνάμει ὑπερβλύζει μὲν ὁ λύχνος ἐλαίου, ὑπερχεῖται δὲ τὸ ἔλαιον χρουνηδόν· καὶ σκεύη ὑποθέντες οἱ νεοχώροι, τὸ καταῤῥέον ἐδέχοντο. οὕτω δαψιλοῦς ὁ μέγας ἐτρύφα τῆς χάριτος, ὑπερβλυζούσης οὐδὲν ἧττον ἐν τῇ ἐκείνου ψυχῇ, ἢ τῷ λυχνῷ φημὶ τὸ αἰσθητὸν ἔλαιον.

Ὅτι μὲν οὖν καὶ τὰ ἐν τῷ βάθει τῆς ψυχῆς ἀκωλύτως εἶχεν ὁρᾶν, ἔφθη καὶ πρότερον ὁ λόγος δηλώσας, ὅτε καὶ πόρνῃ τοῖς ἐλέγχοις ἐβελτιοῦτο, δηλώσει δὲ καὶ τὸ νῦν.

Ἔστι πόλις ἐν Κύπρῳ ὁμώνυμος τῇ ἐν Λιβύῃ Κυρήνῃ, πρὸς ταύτην ἐκ Τριμυθούντων ὁ μέγας, ἐκάλει γὰρ χρεία τις, ἀπῄει· ἑπομένος δὲ αὐτῷ καὶ Τριφύλλιος ὁ φοιτητὴς ἦν, ἤδη τῆς τῶν Καλλινικησέων πόλεως, κατὰ τὸν ὄνειρον, τὴν προεδρίαν ἀπειληφώς· δόξαν οὖν διά τε Κυθερείας πόλεως, διά τε Πενταδακτύλου τοῦ ὄρους ἐλθεῖν, ἐπεὶ κατὰ τὴν λεγομένην Παρύμνην ἐγένοντο· χῶρος δὲ οὗτος ἀγαθὸς καὶ τερπνὸς καὶ πολλοῖς τῶν ἡδέων κατάκομος· ὁ Τριφύλλιος τῷ τόπῳ ἡσθεὶς, ἐρᾷ καὶ αὐτὸς ἀγροῦ τινος ἐν Παρύμνῃ δεσπότης γενέσθαι, καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ τοῦτον ἀφοσιώσασθαι· ταῦτα ὁ Τριφύλλιος περὶ πολλοῦ τε εἶχε, καὶ κατὰ νοῦν ἔστρεφεν, οὐ μὴν ἀθέατα ὅλος τοῖς ἔνδον τοῦ Σπυρίδωνος ὀφθαλμοῖς ἀλλὰ καὶ εἶδεν ἐκεῖνος καλῶς καὶ τὸν μαθητὴν πρᾴως ἠλεγξεν· ὦ, τίποτε, λέγων, Τριφύλλιε, τὰ κενὰ ταυτὶ καὶ μάταια στρέφων ἐν καρδίᾳ διατελεῖς, ἀγρῶν καὶ ἀμπελώνων ἐρῶν; ἃ ἔστι μὲν πρὸς ἀλήθειαν οὐδενὸς, δοκοῦσι δὲ μόνον καὶ θέλγουσι τῷ ὀνόματι· ἔχομεν κτῆσιν ἐν οὐρανοῖς ἀναφαίρετον, ἔχομεν οἰκίαν ἀχειροποίητον· ἐκείνων ἔχου, ἐκείνων καὶ πρὸ τῆς ὥρας ἀπόλαυε ταῖς ἐλπίσιν· ὧν οὐκ ἔστι μετάθεσις εἰς ἕτερον ἐξ ἑτέρου· ἀλλ' ὃς ἂν ἅπαξ αὐτῶν ὀφθῇ κύριος μένει, κλῆρον ἔχων οὐδαμῶς ἀφαιρούμενον· ταῦτα ἀκούσαντα τὸν Τριφύλλιον, μὴ ἁπλῶς ἀκοῦσαι, ἀλλὰ καὶ βελτιωθῆναι τὴν γνώμην, καὶ καρδίας

αὐτὰ ταμείοις ἐγκρύψαι, δεηθῆναί τε τοῦ ἁγίου συγγνώμης τυχεῖν, καὶ τὸ μετὰ ταῦτα πρὸς ἀκρίβειαν ζῆν, ὥστε καὶ σκεῦος ἐκλογῆς γενέσθαι κατὰ Παῦλον Χριστοῦ, καὶ μυρίων ἀξιωθῆναι τῶν χαρισμάτων· οὕτως ὁ μέγας, οὓς μὲν ἑκόντας, οὓς δὲ καὶ ἄκοντας ἐπαιδαγώγει, καὶ τοῖς μὴ βουλομένοις δέξασθαι τὴν παιδαγωγίαν οὐ καλὸν τὸ τέλος ἀπήντα· οἷον δὴ καὶ τοῦτο.

Θαλαττουργός τις τῆς αὐτῆς τῷ ἁγίῳ πόλεως, ἀπόδημος γεγονὼς, καὶ χρόνον τῇ ἀποδημίᾳ τρίψας συχνὸν, δύο ὅλων ἐτῶν, ἐπανῆκε· καὶ πατρίδα τὴν φίλην ἀπολαβὼν, τὴν οἰκίαν εὗρε κομιδῇ πολεμίαν· μεμοίχευτο γὰρ αὐτῷ ἡ γυνὴ φανερῶς· ἐπεὶ καὶ μάρτυς ἦν ἀψευδὴς ὅ τε τῆς γαστρὸς ὄγκος καὶ τὸ κυοφορούμενον ἔμβρυον· μικροῦ μὲν οὖν ἐκεῖνος εὐθὺς καὶ τὸ γύναιον ἂν διεχρήσαιτο· μεστὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς· μόλις δὲ τοῦ θυμοῦ γενόμενος ἐγκρατὴς, καὶ διασκεψάμενος, ὡς οὔτε συναικεῖν αὐτῇ τοῦ λοιποῦ καλὸν, οὔτε μὴν ἀναιρεῖν· τὸ μὲν γὰρ, ἐκείνης ἀπώλεια, τὸ δὲ, ὄνειδος αὐτῷ διὰ βίου καὶ καρδίας τῆξις πέρας οὐκ ἔχουσα· ταύτην μὲν καταλείπει· πρὸς δὲ τὸν ἅγιον αὐτίκα φοιτᾷ, καὶ πάντα κατὰ μέρος διασαφεῖ, τὴν ἀποδημίαν, τὸν χρόνον, τὴν μοιχείαν, καὶ ταύτης τὴν ἀπαράγραπτον ἀπὸ τῆς γαστρὸς μαρτυρίαν· εἶτα τί πάθοι, πῶς ἐνέγκοι, τί περὶ τοῦδε ποιήσειεν, ἐρωτᾷ· καὶ ὅτι ἀπολύειν μὲν αὐτὸς τὴν γυναῖκα διέγνω, βούλεται δέ μαθεῖν, εἰ καὶ αὐτῷ τοῦτο συνδοκεῖ· ὁ δὲ ἐκεῖνον μὲν θαυμάζει τε τῆς γνώμης, καὶ οἰκτείρει τῆς συμφορᾶς, τὴν γυναῖκα δὲ μεταστέλλεται· καὶ οὐ πυνθάνεται μέν· παρέλκουσα γὰρ ἡ πεῦσις καὶ περιττή· ἐπεὶ τίς ἂν καὶ πιστότερον ἀπήγγειλε τῆς γαστρός; ὡς δήλου δὲ τοῦ πράγματος ὄντος, τί δήποτε, λέγει, παθοῦσα, ἑαυτήν τε οὕτως αἰσχύνεις καὶ τὸν ἄνδρα· ἡ δὲ· ἰταμὸν γὰρ τῷ ὄντι γυνὴ καὶ προπετὲς καὶ ἀναίσχυντον, ἐπειδὰν ἅπαξ ἀπόθηται τὴν αἰδῶ· ψεύδεσθαι διαρρήδην οὐδαμῶς ἠδεῖτο, καὶ μηδενὶ ἄλλῳ πλησιάσσι φανερῶς διετείνετο· τοῦ δὲ ἁγίου τὸν τῆς ἀποδημίας χρόνον ἐπειπόντος, ὡς ταύτῃ τοῦ ψεύδους ἐλέγχεσθαι δυναμένου, ἐκείνη οὐδὲ οὕτως ὑφίει τῆς ἀναιδείας· ἀλλ' ἐθορύβει τὸ κάθαρμα, καὶ ἀντιλέγειν ἡ πάντολμος ἐπειρᾶτο· ὡς τοὺς ἀκούοντας τῆς ἀπολογίας αὐτῇ χαλεπαίνειν μᾶλλον, ἢ τῆς μοιχείας· ἐφ' ὅσον γάρ, ἔφασκεν, ἐπὶ ξένης ἦν ὁ ἀνὴρ, ἐπὶ τοσοῦτον ἦν μοι καὶ τὸ βρέφος ἐν τῇ γαστρὶ, ἵν' ὁμοῦ τε ἐκεῖνος τῆς ἀλλοτρίας καὶ τοῦτο τῆς ἐμῆς προέλθοι γαστρός· ὡς οὖν ταῦτά τε καὶ μείζονα τούτων πρὸς τὸν μέγαν ἀπηναισχύντει, οὐ μὴν ἀλλὰ καὶ τάραχον οἷον κινοῦσα, καὶ βοῆς ἐμπιπλῶσα τὴν πόλιν, καὶ ὡς ἂν ἀδικουμένη τὰ χαλεπώτατα, τοὺς παρόντας πρὸς ἄμυναν συγκαλοῦσα· ὁ πραότατος ἐκεῖνος, οὐδὲ οὕτως ὑποβάλλων αὐτὴν τῇ δίκῃ, τῷ φόβῳ δὲ ταύτην μᾶλλον πρὸς μετάνοιαν ἐπισπώμενος· εἰ μέν, ὦ γύναι, φησὶν, ὥσπερ εἰς μεγάλην ἐξώκειλας ἁμαρτίαν, οὕτω δὴ καὶ μεγάλην εἰσῄεις τὴν μετάνοιαν, τάχα ἂν καὶ πολλή σοι περιελείπετο σωτηρίας ἐλπίς· οὐδεμία γὰρ οὕτως ἁμαρτίας ἰσχὺς, ὡς μὴ τῆς τοῦ Θεοῦ ἡττᾶσθαι φιλανθρωπίας. Ἐπεὶ δὲ τῇ μοιχείᾳ μὲν τὴν ἀπόγνωσιν, τῇ ἀπογνώσει δὲ καὶ τὴν ἀναισχυντίαν ὠδίνησας, δίκαιον μὲν ἦν τὰ ἐπίχειρα τούτων ἐπιγνῶναί σε, καὶ ὀξεῖαν ὑποστῆναι κόλασιν. Πλὴν ἀλλὰ καὶ ἔτι χώραν σοι προτείνοντες μετανοίας καθαρῶς ταῦτα προαγορεύομεν· ὡς οὐκ ἀνεῖς φῶς σοι τοῦτο τὸ κυοφορούμενον ἐξέλθοι ποτὲ, ἕως ἂν μὴ καὶ αὐτὴ τὸ τῆς ἀληθείας φέγγος ὑπὸ βαθεῖ σκότει τοῦ ψεύδους ἀπόσχῃ καλύπτειν, κρύπτειν οἰομένη καὶ τὰ τυφλοῖς, ὃ φασι, καθορώμενα. Τὰ ῥήματα ταῦτα πράγματα δι' ὀλίγου τῇ γυναικὶ γίνεται· καὶ πρὸ τῆς ὥρας του τοκετοῦ ὠδῖνες αὐτὴν δριμεῖαι διαλαβοῦσαι, ὀξέως μὲν ἔστρεφον τὴν γαστέρα, τὸ δὲ ἔμβρυον οὐδὲν ἧττον ἐπεῖχον· καὶ ὃ κακῶν ἔσχατον, ὅτι μηδὲ οὕτω πειθομένην ὑφεῖναι τῆς ἀπονοίας, ἐλεεινῷ θανάτῳ παραπέμπουσι καὶ οἰκτίστῳ. Ταύτην ἄλλος μὲν ἂν τις τῆς συμφορᾶς ᾤκτειρεν, ἐγὼ δὲ τῆς γνώμης τῆς πονηρᾶς καὶ ἀθεραπεύτου· ἐφ' ᾧ καὶ τὸν ἁγιόν φασι μᾶλλον περιπαθήσαντα, δάκρυόν τε ἀφεῖναι τῶν ὀφθαλμῶν, καὶ προσθέντα· οὐκέτι τοῦ λοιποῦ, φάναι, δικάσω τινὶ τῶν ἀνθρώπων, οὕτως ὀξέως ἐπικαταλαμβανούσης τῆς ἀποφάσεως· ταῦτα ὅσοις ὁρατά τε καὶ ἀκουστὰ γέγονε, πολλὴν αὐτῆς ἐνῆκε τὴν πρὸς τὸν μέγαν αἰδῶ· καὶ διὰ τοῦτο εὐλαβῶς τε προσεῖχον αὐτῷ, καὶ φόβῳ προσέβλεπον, καθὰ καὶ πάλαι τοῖς Ἀποστόλοις ἄρτι τεθαυματουργηκόσι τὰ περὶ Ἀνανίαν καὶ Σάπφειραν· ἀλλὰ τοῦτο μὲν πονηρᾶς καὶ φαύλης γυναικὸς τὸ διήγημα· προσκείσθω δὲ καὶ καλῆς καὶ ὡς δεῖ τὸν ἄνδρα φιλούσης.

Γυνή τις τοίνυμα Σωφρονία, καὶ τὸν τρόπον δὲ σώφρων οὖσα καὶ εὐλαβὴς, οὐκ εἶχε τὸν ἄνδρα καὶ περὶ τὴν πίστιν ὁμόδοξον, ἀλλὰ πλάνης ἦν ἐκεῖνος τῆς τῶν Ἑλλήνων μεταποιούμενος· ἡ δὲ οὐκ ἀνίει τῷ ἁγίῳ φοιτῶσα καὶ δεομένη θερμῶς τῆς μανίας ἀπαλλάξαι τὸν ἄνδρα. Οὐ μὴν οὐδὲ ὁ ταύτης ἀνὴρ τὰς πρὸς τὸν ἅγιον ἀφίξεις ἀπεῖργεν αὐτῆ· τοῦτο μὲν καὶ ὡς ἄγνοιαν ἔχων, οὗ χάριν αὐτῷ παραβάλλοι· τοῦτο δὲ καὶ ὡς τὸν μέγαν διὰ πολ-

λῆς ὅσης αἰδοῦς τιθέμενος, ἐπεὶ καὶ αὐτὸς οὗτος παρ' ἐκείνου ἐφοίτα, καὶ ὡς φίλῳ τὰ πολλὰ ἐχρῆτο, καὶ τιμὴν ἰδίαν ἡγεῖτο τὸ ἐκείνου τιμᾶν· ἔστι δὲ ὅτε καὶ ὁ μέγας παρ' αὐτὸν ἀφικνεῖτο. Ὡς οὖν οὕτως ἐξένιζόν τε ἀλλήλους καὶ ἐξενίζοντο, συνεστιώμενοί ποτε καὶ συνδειπνοῦντες, ὁ ἅγιος, εὐαφόρμως τὸν Ἕλληνα φίλον θηρᾶσαι βουλόμενος, στραφεὶς εἰς ἐπήκοον αὐτῶν τινὶ τῶν ὑπηρετούντων· ὁ παῖς ὁ μικρὸς, ἔφη, ὁ τὸ ποίμνιον νέμειν μοι πιστευθείς, ὕπνῳ βαθυτέρῳ κατασχεθείς, ἀπολωλέκει τὰ θρέμματα· τοῦ ὕπνου δὲ ἀνέντος αὐτὸν, πάνυ σφόδρα ἐρευνήσας, εὗρεν ἐν σπηλαίῳ τινὶ πάντα ὁμοῦ κρυπτόμενα· φθάνει δὲ, πρὶν ἢ ταῦτα εὑρεῖν, ἄγγελον ὡς ἡμᾶς ἀποστέλλων, δῆλον τὸ συμβὰν ποιησόμενον· καὶ ὃς ἤδη παραγενόμενος, πρὸ τῶν πυλῶν ἵσταται· ἀλλὰ σὺ κατελθὼν, ὦ οὗτος, γνώρισον αὐτῷ δὴ τῷ ἀγγέλῳ, ὅτι εὑρηνται ἀκριβῶς πάντα, καὶ οὐδὲ ἓν ἐνδεῖ τῷ ποιμνίῳ, ἤκουσεν ὁ ὑπηρετῶν ταῦτα, καὶ ἀπελθὼν πρὸς τάχος τῷ πρὸ τῶν πυλῶν διεσάφησεν. Οὕπω τῆς τραπέζης ἀρθείσης, ἕτερος αὖθις ἄγγελος παρελθὼν, πάντα ὁμοίως ἀπήγγειλε τὴν εὕρεσιν καὶ τὸν τόπον, καὶ ὅτι μηδὲν ἐλλείπων ὁ ἀριθμὸς ἦν. Ταῦτα συνῳδὰ παντάπασι τῷ ἁγίῳ ῥηθέντα, πολλὴν ἔκπληξιν ἐμβέβληκε τῷ εἰδωλολάτρῃ· καὶ ὡς Θεῷ τῷ δικαίῳ προσέχων ἦν, καὶ τὰ αὐτὰ ποιεῖν ἠβούλετο, ἃ δήποτε καὶ Λυκάονες πρὸς Βαρνάβαν καὶ Παῦλον ἐποίουν, θύειν αὐτῷ ταύρους, καὶ τοῦ πυλῶνος στέμματα ἐξαρτᾶν· ὁ δὲ, ὥσπερ ἐκεῖνοι, πρὸς αὐτόν· οὐκ ἐγὼ θεὸς, εἶπεν, ἀλλὰ δοῦλος Θεοῦ μᾶλλον, ἄνθρωπος σοὶ ὁμοιοπαθής· τὸ δὲ καλῶς εἰδέναι τὸν μόνον Θεὸν, τοῦτό μοι καὶ τὸ ταῦτα εἰδέναι χαρίζεται· ὃν εἰ καὶ σὺ δεσπότην ὁμολογήσεις, εἶση πάντως σὺν ἀκριβείᾳ, οἷον δὴ παρ' ἐκείνῳ κράτος ἄμαχον καὶ ἰσχὺς· καὶ ὁ μὲν ὅσιος ταῦτα, ἡ δὲ φιλόχριστος πλέον ἢ φίλανδρος τοῦ παραδόξου τούτου πράγματος, οἷα καιροῦ προσήκοντος, λαβομένη, καὶ τὰ παρ' ἑαυτῆς ἁρμοδίως προσενεγκοῦσα, πείθει τὸν ἄνδρα, πᾶσαν μὲν τὴν ματαίαν ἐξομόσασθαι πλάνην, καὶ τὸ περὶ τὰ εἰδώλα σέβας ἐκμυκτηρίσαι, μεταμαθεῖν δὲ καλῶς τὴν εὐσέβειαν, καὶ τὸν Χριστὸν ἐνδύσασθαι διὰ τοῦ βαπτίσματος.

Εἰ τὸ ἑξῆς διήγημα σιωπῇ κρύψωμεν, πῶς οὐχὶ τοὺς ἀκροατὰς μεγίστης ἂν ὠφελείας ἀποστερήσωμεν, μάλιστα μετὰ τοῦ ὠφελίμου καὶ πολὺ τὸ χαρίεν συνεπαγόμενον; λεγέσθω τοιγαροῦν καὶ αὐτὸ, καὶ ἀκοὰς ἑστιάτω τὰς φιλοκάλους.

Φασὶ τὸν μέγαν κατὰ πολὺ τὸ μέτριον καὶ τύφου κεκαθαρμένον, θεοφιλῶς μὲν τῆς ἐπισκοπῆς ἔχεσθαι, οὐδὲν δὲ ἧττον καὶ τῶν

θρεμμάτων μεταποιεῖσθαι· ἀωρὶ γοῦν ποτε τῶν νυκτῶν κλέπται ταῖς ἐπαύλεσιν ἐπελθόντες, τινὰ τῶν αὐτοῦ θρεμμάτων ἐσύλων. Θεὸς δὲ, ὁ τοῦ ποιμένος ἐπιμελόμενος, οὐδὲ τῶν ὑπ' αὐτοῦ ποιμαινομένων ἠμέλει· ἀλλ' οἱ φῶρες οὗτοι δεσμοῖς ἀφύκτοις ἀοράτως περιληφθέντες, τάς τε χεῖρας ἐδέδεντο, καὶ ἀναχωρεῖν οὐδόλως ἀνίεντο, ὄρθρος ἤδη παρῆν· καὶ γνοὺς ὁ μέγας τὸ γεγονὸς, τὰς χεῖρας αὐτοὺς ἔχοντας ὀπίσω περιηγμένας καὶ δεδεμένας ἰδὼν, εὐχῇ μὲν αὐτοῖς τὸν δεσμὸν ἀνῆκε, πλεῖστα δὲ παραινέσας, ἐκ δικαίων πόνων τὰ ἀναγκαῖα πορίζεσθαι, καὶ κριὸν αὐτοῖς ἐπορέγει· ἵνα μὴ μάτην ἠγρυπνηκότες ἦτε, χαριέντως ἐπιφθεγξάμενος.

Πλὴν ἀλλὰ καὶ ἄλλο τῷ ῥηθέντι ἀκολουθεῖν ὥρμηται, παρ' οὐδὲν ἐκείνου τὴν ἡδονὴν ἐλαττούμενον. Τριμυθούντιός τις ἀνὴρ, νηὸς κύριος ὤν, καὶ πρὸς ἐμπορίαν χρυσοῦ δεηθείς, πρόσεισι τῷ ἁγίῳ, παρ' αὐτοῦ ληψόμενος· καὶ ὃς, μετὰ τῶν ἄλλων καὶ ταύτης πληρωτὴς ὢν τῆς ἐντολῆς, ἤ, τὸν θέλοντα παρὰ σοῦ δανείσασθαι, φάσκει, μὴ ἀποστραφεὶς, ὅπερ αὐτῷ προσῆν ὀλίγον, καὶ τοῦτο ἀναγκαίας χάριν τῆς ἐπισκοπῆς χρείας, ἐγχειρίζει προθύμως. Ὁ δὲ, τοῦτο λαβὼν, καὶ τὸν ἀπόπλουν δεξιῶς θέμενος, ἐπεὶ ἐπανῆκε σὺν κέρδει, πρόσεισι τῷ ἁγίῳ καταθήσων τὸ ὄφλημα· καὶ αὐτὸς οὐδὲν περιεργασάμενος, οὔτε τὸν ἀριθμὸν, ὥσπερ ἔθος τοῖς πολλοῖς, λογισάμενος, αὐτὸν ἐκεῖνον ἀναστάντα κελεύει ἐν ἐκείνῳ καταθέσθαι τῷ σκεύει, ἐξ οὗ δὴ καὶ τὸ πρότερον αὐτὸ εἰληφὼς ἦν· καὶ τότε μὲν τὸ χρηστὸν τοῦ δανειστοῦ καὶ ἄπραγμον ὁ ἔμπορος αἰδεσθείς, ἐκεῖ τὸν χρυσὸν, ὥσπερ ἄρα καὶ ἐκελεύσθη, κατέθετο. Ὡς δὲ καὶ αὖθις τῆς χρείας αὐτὸν ἐπειγούσης, οὕτω μὲν ἑτοίμως ἐλάμβανεν, οὕτω δὲ καὶ ἀδόλως αὐτὸς κατετίθετα, καὶ τὸν τρόπον τοῦτον πολλάκις ἐγίνετο, πάθος ὑποτρέχει φιλαργυρίας τὸν ἔμπορον, καὶ ἀπίστως πρὸς τὸν πιστεύοντα καὶ πονηρῶς διατίθεται, καὶ τὴν ἀλήθειαν διαφθείρει· ὑπόθεσίν τε κακουργίας εὑρηκὼς τὴν ἐλευθερίαν, καταθέσθαι μὲν ὑποκρίνεται, μηδὲν δὲ καταθείς, ἀλλὰ κενὸν τὸ σκεῦος ἀσφαλισάμενος, ᾤχετο· ἀλλ' οὐχ οὕτως ἐᾷν ἔμελλε παρακρουσθῆναι τὸν ἅγιον ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, ὡς τὰ ἱερὰ δήπου φασὶ λόγια· ἵνα μὴ τὸ ἁπλοϊκόν τε καὶ ἐλευθέριον εὐεξαπάτητον ἢ καὶ καταφρονῆται ῥᾳδίως ὑπὸ τῶν πανουργοτέρων καὶ ἀτιμάζηται. Ὅρα τοίνυν, πῶς ἡ σοφὴ δικαία τοῦ Θεοῦ πρόνοια τὸν ἀδικήσειν ἐπιχειρήσαντα, ἑαυτὸν ἀδικῆται μᾶλλον παρασκευάζει· δαπάναις γὰρ, ὡς ἔοικεν, οὐ πρὸς κέρδος ὁρώσαις τὸ χρυσίον ἀνηλωκὼς, ἔπειτα πρὸς ἀπορίαν ἐλάσας, ὁδοῦ πα-

λιν μέμνηται τῆς πρατέρας, καὶ πρὸς τὸν μέγαν ἐλθών, ὃ μὴ κατέθετο χρυσίον, ὡς κατεθεὶς ἐπεζήτει. Τὸν δὲ οὐκ ἔλαθε μὲν τὸ κακούργημα· πρᾴως δὲ οὕτως ἐκέλευεν, ὥσπερ ἔθος, ἀπελθόντα λαβεῖν· ὁ δέ, ὡς μηδὲν σκαιὸν δράσας καὶ ἀνελεύθερον, ἀπῄει, τὸ ὄφθεν καταβληθὲν ληψόμενος· καὶ διανοίξας, καὶ κενὸν τὸ σκεῦος εὑρὼν, ὥσπερ δὴ καὶ κατέλιπεν, ἀπαγγέλλει μὲν τοῦτο πρὸς τὸν ἅγιον, λανθάνειν οἰόμενος, ἀκούει δὲ, ἀκριβέστερον ἐκζητῆσαι· ἔξ ὅτου γὰρ, ἔφη, καὶ κατέθου σὺ, οὐδενὸς ἄλλου χεῖρες τὸ καταβληθὲν εἰλήφασι. Καὶ ὃς πάλιν προσπαίεται μὲν ἐρευνᾷν, ἐπεὶ δὲ ἀδύνατον εἶναι, ὃ μὴ ἀληθῶς ἦν, σκηψάμενος ἄγνοιαν, αὖθις ἔφη πάλιν τὸ παράπαν εὑρεῖν. Ὁ δὲ χρηστὸς καὶ πρᾷος ἐκεῖνος ἀνὴρ, εἰ μὲν, ὦ φίλτατε, ἔφη, ἀληθῶς ἐτύγχανες τεθεικὼς, εὗρες ἂν καὶ ὃ κατέθηκας εὐχερῶς, εἰ δὲ ὃ παρὰ σοὶ ἔμεινε, τοῦτο νῦν παρ' ἡμῶν λαβεῖν ἐκζητεῖς, ἴσθι σεαυτὸν μᾶλλον, ἢπερ ἡμᾶς παραλογιζόμενος. Τοῦτο ἐκεῖνον ἀκούσαντα, καὶ τὸν κρυπτὸν ἅμα συνεφαπτόμενον ἔχοντα τῆς συνειδήσεως ἔλεγχον, μηδαμῶς ἐνεγκεῖν, ἀλλ' εὐθέως πρὸς γῆν τε καταπεσεῖν, καὶ τῶν ἱερῶν ἐκείνου ποδῶν ἁψάμενον, συγγνώμην αἰτεῖν, τὸν δὲ ἑτοιμότερον μὲν ἀφεῖναι, ἢ ἐκεῖνον αἰτήσασθαι· παραινέσαι δὲ τοῦ λοιποῦ μὴ οὕτω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, μηδὲ δόλοις καὶ ψεύδεσι καταμιαίνειν τὸ συνειδὸς· τὸ γὰρ ἐκ τοιούτων, φησὶ, περιποιούμενον κέρδος, οὐ κέρδος ὅλως, ἀλλὰ ζημία σαφής.

Ἑνὸς ἔτι τῶν τοῦ ἁγίου μνησθεὶς ὁ λόγος, ἐπὶ τὴν τελευτὴν αὐτοῦ βαδιεῖται, φασὶν, ἔτι περιόντος τοῦ ἁγίου καὶ τῆς ἐπισκοπῆς προεδρεύοντος, ὁ πατριάρχης Ἀλεξανδρείας σύνοδον παραγγείλας τῶν ὑπ' αὐτῷ πάντων ἐπισκόπων, τὰ Ἑλληνικὰ ξόανα καὶ ἀγάλματα εὐχῆς κοινῆς πρόπαιον ἠβούλετο θέσθαι, καὶ εἰς γῆν ταῦτα καταβαλεῖν· ἔτι γὰρ ἀναπέπλητο τῶν τοιούτων ἡ πόλις. Καὶ καθὰ Παῦλος ἐνεπίμπρατο καὶ οὗτος τὸ πνεῦμα, καὶ θερμὸν ἔπνει κατὰ τῆς ἀσεβείας, πάντων οὖν συνεδεδραμηκότων, καὶ εἰς εὐχὴν ἑαυτοὺς ἐκδόντων, τὰ μὲν ἄλλα τῶν ξοάνων νεύματ' τοῦ Θεοῦ καὶ ἰσχύϊ διεδονεῖτό τε καὶ εἰς γῆν κατεβάλλετο· ἓν δὲ τούτων μόνον, καί τοι πολλὰς καθ' ἕνα τε καὶ ὁμοῦ τὰς εὐχὰς σὺν αὐτῷ ὅπου τῷ πατριάρχῃ ποιησαμένων, ἔμενε κατὰ χώραν· οὐ τοῦ Θεοῦ μὴ προσέχοντος, ἢ ἀτιμάσαντος τὰς ἱερὰς ἐκείνων εὐχὰς, ἀλλ' οἰκονομίᾳ τοιᾶδε σοφῇ θέλοντος τὸν ἑαυτοῦ δοξάσαι θεραπευτὴν, καὶ δεῖξαι τό γε τοῖς πολλοῖς ἀγνοούμενον, οἷος ἄρα Σπυρίδων ἐν ἐπισκόποις. Νυκτὸς οὖν ἤδη καταλαβούσης,

αὐτὸς μὲν ὁ πατριάρχης καὶ ἔτι τῇ εὐχῇ προσκείμενος ἦν· θεία δέ τις ὄψις αὐτῷ παραστᾶσα, μὴ ἀθυμεῖν ἔφασκεν, ὅτι μὴ τὸ εἴδωλον καταπέσοι· Σπυρίδωνι γὰρ τετομίευται τὸ ὑπ' ἐκείνου δὴ τοῦτο καὶ μόνου καταπεσεῖν· ἀλλὰ θᾶττον αὐτὸν ἐκ Κύπρου μετάκλητον ποίει· τῆς Τριμυθοῦντος γὰρ ἐπίσκοπος ὁ ἀνήρ. Πράττει τὰ κατ' αὐτὸ δὴ τὸ κεκελευσμένον ὁ πατριάρχης, καὶ γράμματα πέμψας μετακαλεῖται τὸν ἅγιον· τὰ γράμματα δὲ εὐθέως τήν τε αἰτίαν τῆς μετακλήσεως, καὶ τὴν φανεῖσαν ὄψιν, καὶ ὡς οὐδαμῶς παραιτητέον τὴν ἄφιξιν, ὁ δὲ εὐθὺς πείθεται· ἅμα γάρ ἐλεηγέ τε τῆς ἀναγνώσεως τῶν γραφέντων, καὶ τῆς ὁδοῦ ἦρχετο· πλοίου τε ἐπιβὰς ἀπέπλει πρὸς Ἀλεξάνδρειαν. Τὸ μὲν οὖν πλοῖον προσορμίζει κατὰ τὴν Νέαν Πόλιν, ἐπίσημος δὲ οὗτος Ἀλεξανδρείας λιμήν· αὐτὸς δὲ τῆς νεὼς ἀποβαίνων ᾔχετο κατὰ νοῦν· καὶ ἅμα οἵτε πόδες ἐκείνου τῆς γῆς ἐπέβαινον, καὶ τὸ μιαρὸν ἄγαλμα καὶ εὐχῆς γενέσθαι πολλῶν κρεῖττον φιλονεικῆσαν, αὐτῷ δήπου ναῷ συγκατεστρέφετο, καὶ εἰς χοῦν ἐλεπτύνετο. Τοῦτο καὶ τὴν τοῦ ἁγίου ἐπιδημίαν, μηδέπω δῆλην οὖσαν, τῷ πάπᾳ γνωρίζει· ὡς γὰρ αὐτόματον ἐκεῖνο καταβληθὲν τὸ εἴδωλον οἱ ἑωρακότες ἀνήγγειλαν, ὅ τε πάπας εὐθύς· ὦ φίλοι, εἶπε, Σπυρίδωνα ἐκ Τριμυθοῦντος· κἀκεῖνοι σπεύσαντες· ἀπανταῖν γὰρ ἐκελεύοντο παρ' αὐτοῦ· ἔτι πρὸς τῇ ἀποβάσει τὸν μέγαν κατέλαβον· τίς οὖν οὕτως ἐσχατιὰν γῆς οἰκῶν, ἀνήκοος τοῦδε περιελείφθη τοῦ θαύματος; ἔγνωσαν μὲν Βυζάντιοι, ἔγνω δὲ αὐτὸς ὁ κρατῶν, ᾔσθοντο δὲ καὶ πᾶσαι πόλεις αἱ διὰ μέσου, καὶ μικροῦ πᾶσαν τὴν οἰκουμένην τὸ θαῦμα διαδραμόν, οὐκ ἔστιν εἰπεῖν ὅσην πιστοῖς τε καὶ ἀπίστοις ἐμνηστεύσατο τὴν ὠφέλειαν, ὡς τῶν μὲν μεταβαλλόντων πρὸς τὴν εὐσέβειαν, καὶ τὸ ἱερὸν βάπτισμα δεχομένων, τῶν δὲ βεβαιότερον ἐπὶ τῷ θεμελίῳ ταύτης στηριζομένων. Ταῦτα οὐ ψιλή τις καὶ ἀβασάνιστος ἀκοὴ, ἀλλὰ καὶ ἡ εἰκὼν φθέγγεται καὶ συμμαρτυρεῖ, ἥ γε δὴ μεταξὺ ἕστηκε τοῦ τε ἀρχοντικοῦ λεγομένου πυλῶνος, καὶ τοῦ ναοῦ φημι Τριμυθοῦντος, ἔνθα τὸ ἱερὸν Σπυρίδωνος λείψανον, κατὰ μέρος μετὰ καὶ ἄλλων ἐξηγουμένη· ἀλλὰ γὰρ τῶν ἄλλων ἀφεμένους, ὡς ἡ ὑπόσχεσις, ἐπὶ τὴν θείαν ἐκείνου τελευτὴν βαδιστέον.

Θέρους ἦν ὁ καιρὸς, καὶ τὰ λήϊα δοψιλῆ, καὶ ὁ καρπὸς εὔστοχος καὶ πολύχους ἦν τῷ ἁγίῳ· ὁ δὲ, αὐτουργὸς ὢν τὰ πλεῖστα καὶ ταῖς χερσὶ χρώμενος, ἅρπην λαμβάνει τῇ δεξιᾷ, καὶ ἅμα ἄρχεται· ἄρνω δὲ ψεχάδες λίαν λεπταὶ, μηδαμοῦ τότε τοῦ Θεοῦ ὗον-

τος, μόνην τὴν ἱερὰν ἐκείνου βάλλουσι κεφαλήν· δεικνύντος αὐτῷ τοῦ θείου, ὅτι κἀκεῖνος θάλλων ταῖς ἀρεταῖς, οἷά τι καλὸν λήϊον ταῖς δρόσοις βάλλεται· καὶ ὅτι περ ὅσον οὔπω καὶ ὁ καρπὸς οὗτος τῷ δεσπότῃ καὶ γεωργῷ συγκομίζεται. Τούτῳ δὲ τῷ παραδόξῳ καὶ ἄλλο τι παραδοξότερον ἠκολούθει· ὡς γὰρ ἐκεῖνος τὴν κεφαλὴν αὐτοῦ τῇ δεξιᾷ κατισχὼν, τοῖς παροῦσιν ἐδείκνυ τῇ δρόσῳ θάλλουσαν, τρίχες εὐθέως ξανθαί τε καὶ μέλαιναι καὶ λευκαὶ συνάμα ἐπήνθουν, οὐκ οἶδα μὲν ὅ τι τοῦ Θεοῦ διὰ τούτων ὑποσημαίνοντος· ἐκεῖνος δὲ, ὡς ἔοικε, γνούς ἴστε φίλοι, πρὸς τοὺς παρόντας εἶπεν, ὡ ἐγὼ μὲν ἤδη τοῦ σώματος ἐκδημῶ· πολλὴ δὲ δόξη ὁ Κύριος τὴν ἐμὴν τῆς ἀποδημίας μνήμην περιβαλεῖ, καὶ πολλοῖς τῶν ἀνθρώπων ἡ τῆς τελευτῆς τῆς ἐμῆς ἡμέρα ὑπόθεσις ἑορτῆς ἔσται, καὶ φιλοτίμως ταύτην ἡλικία πᾶσα ἐπιτελέσει νέων τε καὶ μέσων καὶ παλαιῶν. Ταῦτα καὶ πολλὰ ἕτερα εἰπών τε καὶ προαγορεύσας, ἀλλὰ καὶ παραινέσας τὰ δέοντα, καὶ πᾶν καλὸν καὶ σωτήριον ἐν κεφαλαίῳ πρὸς τοὺς παρόντας διεξελθὼν, καὶ πολλῷ μᾶλλον περὶ τῆς γενικωτάτης καὶ πασῶν τῶν ἄλλων μείζονος ἀρετῆς, τῆς εἰς τὸν Θεὸν ἀγάπης λέγω καὶ τὸν πλησίον, μετ' οὐ πολὺ, ὥσπερ δὴ καὶ ἔφη, τὴν ἀγνὴν ἐκείνην καὶ ἱερὰν ἀφῆκε ψυχὴν, ἀγγέλοις μὲν ἄξιος συγχωρευτὴς γενόμενος, οὐ μὴν οὐδὲ τέλεον ἀφιστάμενος τῶν ἀνθρώπων, ἀλλὰ καὶ μάλιστα νῦν προϊστάμενος, ὅτε καὶ πλησιέστερός ἐστι τῷ Θεῷ, καὶ μείζονι τῇ πρὸς αὐτὸν κέχρηται παῤῥησίᾳ. Πολλὰ μὲν οὖν καὶ τὰ μετὰ τὴν τελευτὴν ὑπ' ἐκείνου γεγονότα τε καὶ εἰσέτι γενόμενα· ἡμεῖς δὲ, ἵνα μήτε τῷ τέλει τοῦ βίου συμπεριγράψωμεν εὐθὺς καὶ τὰ θαύματα, μήτε πάλιν ἐπὶ πολὺ τὴν γραφὴν ἐκτείνωμεν, ἑνὸς ἢ δύο ἐπιμνησθέντες, τὸν λόγον ἐν Θεῷ καταπαύσομεν.

Εἴρηκέ τις τῶν φιλοχοίστων καὶ φιλούντων μὲν διαπύρως τὸν ἅγιον, φιλούντων δὲ οὐχ ἧττον καὶ τὴν ἀλήθειαν, ὅτι τῆς ἑορτῆς αὐτοῦ τελουμένης· τελεῖται δὲ δωδεκάτην τοῦ Δεκεμβρίου μηνὸς ἀγῶντος· προσήει καὶ οὗτος τῷ τάφῳ καθάπερ ζῶντι μέλλων περιτυχεῖν, πολλὴν ἀπὸ τοῦ προσώπου σημαίνων τὴν πρὸς αὐτὸν αἰδῶ καὶ εὐλάβειαν. Ἐπεὶ δὲ καὶ πλησίον ἦν, καὶ παραθεῖναι τὰς ὄψεις ἔμελλε· τοσαύτης, ἐκεῖνος ἔλεγεν, ἐπισκοπῆς θείας ᾐσθόμην ἔνδον ἐνεργουμένης, καὶ οὕτως αὐτήν μου διελήλυθε τὴν καρδίαν, ὡς μετέωρόν με γενέσθαι τῷ πνεύματι, καὶ μόνα τὰ ἐκεῖθεν φαντάζεσθαι κάλλη, ἐπιλαθόμενον μὲν τῶν γηΐνων πάντων, ἐπιλαθόμενον δὲ καὶ αὐτοῦ σώματος, καὶ σχεδὸν ἄφωνόν τε καὶ ἄφθογγον, ὡς δὲ καὶ ἄσιτον ὄντα, καὶ μήτε πρός τινα φωνὴν προτέμενον, μήτε τροφὴν ἢ πόσιν παρ' ὅλην ἐκείνην τὴν ἡμέραν προσιέμενον ὅλως, ὅτι μὴ μόνον μεταλαχόντα τοῦ δεσποτικοῦ καὶ θείου σώματός τε καὶ αἵματος· ἄλλοτε μέν τοι καὶ ἐναργέστερον αὐτῷ τὸ θαῦμα κατέστη, καὶ ὁ τρόπος διεξελθεῖν χαριέστατος· ὁ μὲν, ὡς ἔφη, τῆς ἑορτῆς αὐτὸν αὖθις παρακαλούσης, εἰς Τριμυθοῦντα γενόμενος, καὶ τὴν σορὸν, ἣ τὰ τοῦ ἁγίου λείψανα περιεῖχε, προσκυνῶν τε καὶ ἀσπαζόμενος, ἐπληρώθη μὲν ὁμοίως τὴν καρδίαν φωτὸς, ἐπλήσθη δὲ τὴν ψυχὴν ἡδονῆς, καὶ οἷα τὰ τοὺς ἁγίους περιμένοντα ἀγαθὰ διὰ τῶν παρόντων ὡς ἐνὸν ἐτεκμοίρετο. Ἔπειτα καὶ εἰς τὴν πανήγυριν ἦει, ἔπιπλα δή τινα ὠνήσασθαι καὶ ἐσθήματα, πέντησι καὶ ἀπόροις περιβολὴν, ἅτε δὴ καὶ τῆς ὥρας εἰς τοῦτο καλούσης· ψύχος γὰρ ἦν· ἐπεὶ οὖν ἐνεσκευάσατο, καὶ ἔδει φοιτᾷν οἴκαδε χρείας ἐπιγούσης· συνδρομὴ μὲν οὖν, οἷα χειμῶνος, νεφῶν ἦν, ὄμβρου δὲ καταφορὰ ἠπειλεῖτο σφοδρὰ, καὶ ἡ φροντὶς οὐ μικρὰ, οὕτω ταλαιπωρουῦντι, καὶ τὸν φόρτον παραδόντι τῷ ὑετῷ, τὴν ἐς τὰ οἰκεῖα τέμνειν ὁδόν· προβάλλεται γοῦν τὴν ἀγαθὴν ἐλπίδα, καὶ τὰ ἔπιπλα καὶ πᾶν ὅσον ἐν αἰσθήμασι τοῖς ὑποζυγίοις ἐνθέμενος, αὐτὸς τὸ τοῦδε προστρέχει ναῷ, καὶ ὡς εἶχε τῇ θήκῃ περιχυθείς, καὶ οἷα ζῶντι θερμῶς περιφὺς, αἰτεῖται κοινωνῆσαι αὐτῷ τῆς ὁδοῦ, καὶ ἡγεμὼν ἀγαθὸς γενέσθαι αὐτῷ τε καὶ τοῖς σὺν αὐτῷ πᾶσιν, εὔπορόν τε αὐτοῖς τὴν ὁδὸν ποιῆσαι, τῶν ὄμβρων τὴν ἀπειλὴν καὶ τῶν πνευμάτων ἐπισχόντα τὴν βίαν. Ὁ μὲν, ταῦτα εὐξάμενος, τῆς Τριμυθοῦντων ἐξήει· ὁ δὲ ἅγιος, ὥσπερ καὶ οὗτος ηὔξατο, οὐκ ἀοράτως μόνον, ἀλλὰ καὶ ὁρατῶς ἤδη διὰ πάσης αὐτῷ τῆς ὁδοῦ καθάπερ τῶν ὁδοιπόρων εἰς συμπαρῆν· ὁ δέ γε ὄμβρος τῇ τε τοῦ ἀέρος συγχίσει, τῇ συνελεύσειτε τῶν νεφῶν, ὡς εἰπεῖν, ἐπήρτητο, τῇ τούτου δὲ δυνάμει κατείχετο καὶ τῆς φορᾶς ἀνεστέλλετο. Ὅτε δὲ καὶ τὸν οἶκον κατέλαβεν ὁ ἀνὴρ, ὁ μὲν αὐτίκα γίνεται ἀφανὴς, τοῦ δὲ πάλιν ἡ καρδία φωτὶ ἀῤῥήτῳ περιελάμπετο καὶ χαρᾷ διεχεῖτο, καθάπερ ἁψαμένης αὐτῆς τοῦ ἁγίου καὶ τῆς οἰκείας μεταδόντος εὐφροσύνης καὶ ἡδονῆς· ἡνίκα δὲ μὲν ὁ ἅγιος ἀφανὴς, ὁ δὲ ἀνὴρ εἴσω γέγονε τῆς οἰκίας, αὐτίκα καὶ ὑετὸς ἠκολούθει πάνυ μὲν ῥαγδαῖος, οὕτω δὲ καὶ παρατείνας ἐπὶ πολὺ, ὡς καὶ εἰς τρεῖς ὅλας ἡμέρας μὴ ἐκλιπεῖν· καὶ τότε μὲν οὕτω τὴν δυσχέρειαν τῆς ὁδοῦ, ἄλλοτε δὲ καὶ ἄλλην ἀθυμίαν αὐτῷ διέλυσεν· ἡμέρα μὲν τῆς ἑορτῆς ἦγετο τοῦ μεγάλου· ἄπορον δὲ τῷ ἀνδρὶ ἀπαντῆσαι πάλιν· καὶ τὸ πρᾶγμα

συμφορὰ ἐδόκει αὐτῷ, καὶ δι' εὐχῆς ἐποιεῖτο, τῆς συνήθους ἐπισκοπῆς τε καὶ χάριτος μὴ ἀποτυχεῖν· τί οὖν; εὔπω πέρας ἐλάμβανεν ἡ εὐχὴ, καὶ παρὰ τὸν ναὸν ἔδοξεν ἀπέναι· καὶ ἅμα τῆς ἐξ ἔθους ἐλλάμψεως καὶ γλυκύτητος ἐκοινώνει· πρός τε τὸν ναὸν συνεισελθεῖν αὐτῷ ἐῴκει καὶ αὐτὸς προσευξόμενος, καὶ συνεῖναι παρ' ὅλην αὐτῷ τὴν δοξολογίαν· εἶτα καὶ πάντας εὐλογήσαντα τοὺς παρόντας, ἐπὶ τέλους ἀποστῆναι.

Ἐμοὶ μὲν ὁ λόγος, εἰ καὶ μὴ τὰ ἐκείνου πάντα, ἀλλ' οὖν ἀρκοῦντα τοῖς φιλαρέτοις εἰρηκεν· ὅπως δὲ καθ' ἑκάστην τῶν δεομένων αὐτοῦ περιέρχεται, οὐκ ἂν ἄλλος ὡς προσῆκον εἴποι, ὅτι μὴ αὐτοὶ μόνοι οἱ καὶ τῶν αὐτοῦ θαυμάτων ὅσαι ὧραι καὶ τῆς χάριτος ἀπολαύοντες· χρὴ δὲ μηδὲ τοῦτο ζημιῶσαι τοὺς φιλοθέους· εἴτις ἂν ζητοίη διαπορῶν, πόθεν ἡ τοσαύτη Σπυρίδωνι τῶν θαυμάτων θάλασσα, καὶ τίποτε ἄρα κατωρθωκὼς οὕτως ὤρθη τῷ δεσπότῃ κεχαρισμένος· ἴστω, ὡς πάντα μὲν αὐτῷ καθάπερ ἐκ συμφωνίας συνέδραμε τὰ καλὰ, καὶ ὅρος οὗτος πολιτείας ἀρίστης γέγονεν. ἦν δέ τι οἱονεὶ γνώρισμα καὶ παράσημον τῶν ἄλλων διαφέρον Σπυρίδωνος ἡ τῆς ταπεινοφροσύνης καὶ μετριότητος εἰς ἄκρον ὑπερβολὴ καὶ τὸ μικροῦ πάντας ὅσοι θαυμάτων χάριτος ἠξιώθησαν ὑπερβαλόντα, μηδὲν ἑαυτὸν, μηδὲ τῶν εὐτελῶν τινος καὶ ἁμαρτιῶν πλήθει βαρυνομένων διαφέρειν δοκεῖν.

Τοιαῦτα μὲν αὐτῷ τοῦ βίου τὰ κατορθώματα, τοιαῦτα δὲ καὶ τὰ θαύματα, γένοιτο δὲ καὶ ἡμῖν τινὰ τῶν ἐκείνου, γὰρ πάντα εἰπεῖν μικροῦ καὶ ἀδύνατον, βοηθείᾳ τῇ αὐτοῦ μιμήσασθαι, ἵνα καὶ κοινωνοὶ τῶν ἡτοιμασμένων αὐτῷ γενώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Ἔως ὧδε τὰ τοῦ Ἁγίου Συμεὼνος τοῦ Μεταφραστοῦ

ΣΥΝΑΞΑΡΙΟΝ

Οὗτος ὁ μέγας Πατὴρ ἡμῶν, καὶ Θαυματουργὸς Σπυρίδων, ἤκμασεν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, καὶ Κώνσταντος τοῦ υἱοῦ αὐτοῦ. Ἦν δὲ τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός. Ἐγένετο δὲ ἐξ ἀρχῆς Ποιμὴν προβάτων· ἔπειτα γυναικὶ προσωμίλησε, καὶ μετὰ τὴν αὐτῆς ἀποβίωσιν Ἐπίσκοπος κατέστη. Ἐπὶ τοσοῦτον δὲ ἡ χάρις τῶν ἰαμάτων, ἐδόθη αὐτῷ παρὰ Θεοῦ, ὡς ἐπωνυμίαν αὐτῷ γενέσθαι τὰ θαύματα. Καὶ γὰρ ἐν αὐχμῷ κατήγαγεν ὑετὸν, καὶ πάλιν αὐτοῦ τὴν ἀμετρίαν ἐκώλυσε δι' εὐχῆς. Καὶ μελετώμενον λιμὸν παρὰ τῶν σιτοκαπήλων ἔλυσε, συμπεσουσῶν αὐτοῖς τῶν ἀποθηκῶν, αἷς τὸν σῖτον συνέσχον. Καὶ ὄφιν μετέβαλεν εἰς χρυσόν· καὶ μετὰ τὸ λῦσαι δι' αὐτοῦ τὴν τοῦ πένητος συμφοράν, πάλιν τὸν χρυσὸν εἰς ὄφιν ἀπεκατέστησε. Καὶ ποταμῶν ῥεύματα ἔστησε. Καὶ πόρνην αὐτοῦ προσψαῦσαι τολμήσασαν, τὸ κατ' αὐτὴν ἐξαγορεῦσαι πεποίηκε. Καὶ τοὺς ἐπὶ λόγοις μέγα φρονοῦντας ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος ἐπεστόμισε. Καὶ γυναικός τινος παρακαταθηκην ζητούσης παρὰ τῆς αὐτοῦ θυγατρὸς, ἤδη νεκρᾶς οὔσης, ἐρωτήσας, καὶ μαθὼν ἔνθα κέκρυπται παρ' ἐκείνης τῇ τούτων Κυρία τὰ χρήματα δέδωκε. Καὶ τὸν Βασιλέα Κωνστάντιον τοῦ συνέχοντος πάθους ἀπήλλαξεν. Ἀνεζώωσε δὲ καὶ παῖδα τινὸς γυναικός. Καὶ τὸν κατὰ πλεονεξίαν αἶγα βουλόμενον λαβεῖν διήλεγξε, τῆς μιᾶς ἐκείνης αἰγὸς πρὸς τὴν μάνδραν ἀπὸ τοῦ ταύτην ἕλκοντος, βίᾳ μεταχωρούσης· μετὰ δὲ τὸ τὴν τιμὴν αὐτῆς ἀποδοῦναι, μεινάσης σὺν ταῖς λοιπαῖς. Ἰάσατο δὲ καὶ τοῦ Διακόνου τὴν ἀφωνίαν· ὃς μικρὰν εὐχὴν ἐπιτραπεὶς εἰπεῖν, μεγάλην ἐξέτεινε, καὶ εὐθὺς εἰς ἀφωνίαν κατέστη.

Τούτῳ ποτὲ λειτουργοῦντι συνυπακούοντες ὤρθησαν Ἄγγελοι καὶ Τῷ Πνεύματί σου, λέγοντες, ἐν τῷ τὴν Εἰρήνην τῷ λαῷ συνήθως ἐν τῇ Ἐκκλησίᾳ διδόναι (ἐν τῷ ἐκφωνεῖν δηλαδὴ εἰρήνην πᾶσι.)

Τῶν δὲ ἐν λαμπάσι φώτων ὀλίγων παρὰ τῶν ὑπηρετῶν ἀναφθέντων, καὶ τοῦ Ἁγίου δυσχεραίνοντος ἐπὶ τούτῳ, μὴ παρεῖναι τινὰς ἔλεγον, ἐν τῇ ἐκκλησίᾳ καὶ μὴ δεῖσθαι πλείονος ἁδσυχίας. Ἐμαρτυρήθη οὖν τῷ Ἁγίῳ ἄνωθεν, ὅτι θεατὰς μᾶλλον Ἀγγέλους ἔσχε συνυπακούοντας ἐν ταῖς εὐχαῖς, καὶ συμψάλλοντας. Ἡ δὲ ἐν τῷ λύχνῳ, ἤδη μαρανομένου τοῦ ἐν αὐτῷ φωτὸς, καὶ λήγοντος διὰ τροφῆς ἔνδειαν, ἐξαίφνης ἡ τούτου ἀνάβλυσις, τίνας οὐκ ἐκπλήττει τῷ θαύματι;

Πολλοῖς δὲ καὶ ἐκ προγνώσεως θείας περὶ τῶν μελλόντων ἐθέσπισε. Καὶ τὸν Ἐπίσκοπον Τριφύλλιον νουθετήσας, τοῖς τοῦ Κόσμου προστετηκότα τερπνοῖς καὶ προσκείμενον, ποθεῖν μᾶλλον τὰ μέλλοντα ἔπεισε. Καὶ τὴν μοιχευθεῖσαν γυναῖκα, τὴν ἐξομολό-

γησιν μὴ καταδεχομένην, ἀλλ' ἐν τῷ τίκτειν, τὸν ἴδιον ἄνδρα πείθουσαν, ὅτι ἐξ αὐτοῦ εἴη τὸ ἐγκυμονούμενον, καίτοι γε μῆνας εἴκοσιν ἀποπλεύσαντα, καὶ μὴ συγγενόμενον αὐτῇ, ἐπιτιμήσας, τῷ θανάτῳ παρέδωκε.

Τούτῳ, θέρους ὥρᾳ ἐν ἡλίῳ φλέγοντι, δρόσου πλήρης ἡ κεφαλὴ ἐπεφαίνετο, δηλοῦντος τούτου τὴν ἐπ' αὐτῷ τοῦ Θεοῦ γενησομένην τιμήν. Ὅπως δὲ ἦν συμπαθὴς, ἐδήλωσε τὸ συμβὰν εἰς τοὺς τὴν Ποίμνην αὐτοῦ συλλῆσαι ἐπιχειρήσαντας· οὐ μόνον γὰρ αὐτοὺς ἀορασίᾳ κρατουμένους τοῦ πάθους ἀπήλλαξεν, ἀλλὰ καὶ κριὸν ἕνα δοὺς, ἀπέλυσεν ἐπειπὼν, ἵνα μὴ ὦσι μάτην ἠγρυπνηκότες. Οὗτος, τὸ πιστευθὲν αὐτῷ ποίμνιον καλῶς ἰθύνας, πρὸς τὴν τῶν Ἀγγέλων πολιτείαν καὶ διαγωγὴν μετετάξατο.

Τὸ δὲ αὐτοῦ σεβασμιώτατον σκῆνος, μετὰ τὴν οἰκτρὰν τῆς Κωνσταντινουπόλεως ἅλωσιν, εἰς Κέρκυραν μετηνέχθη διά τινος εὐγενοῦς τῶν ἐκεῖθεν, Καλοχαιρέτη τοὐπίκλην, ὃς καὶ Ναὸν εὐρὼν πανευκλεῆ καὶ σεβάσμιον, ἐκεῖσε τὸ πάνσεπτον μετέθηκε Λείψανον· καὶ τὸν τοῦ ἱερατεύειν αὐτὸς βαθμὸν ἀναβὰς, καθ' ἑκάστην τῷ Κυρίῳ τὰς εὐχαριστίας προσήνεγκε. Καὶ δὴ τῇ τοῦ Σκήνους καταθέσει, καὶ ἐπισκιάσει τοῦ Παναγίου Πνεύματος, πλεῖσται ἰάσεις καὶ θαυματουργείαι ὑπερεκβλύζουσαι διετελοῦντο· ἃς ὁ τῆς Κερκύρας λαὸς ἐκπληττόμενος, διὰ πάσης τῷ ἱερῷ τοῦ Ἁγίου Τεμένει προσέτρεχεν εὐλαβείας, ὡς τοιούτου λαχόντες Θησαυροῦ τοιούτου θείᾳ προνοίᾳ πολιούχου ἀξιωθέντες.

Ἀνακαινισθείσης δὲ μετὰ ταῦτα τῆς πόλεως, καὶ ἑτέρωσι μεταχτισθείσης, ἄλλον ἐγείρουσι τῷ Ἁγίῳ Ναὸν οἱ τότε Ἱεροθῦται, οἱ ἐκ Κερκύρας δηλαδὴ Βούλγαροι· εἰς οὓς δι' Ἀσιμίνης τῆς μακαρίτιδος τὸ κατὰ Κόσμον τῆς δεσποτείας δικαίωμα τοῦ Ἱεροῦ μετέβη Λειψάνου. Ὃς δὴ καὶ διὰ πλουσίων τοῦ λαοῦ δώρων, καὶ πολυτίμων ἀναθημάτων περίδοξος, ὡς τὰ νῦν φαίνεται, τετελείωται. Ἔνθα ἡ τῶν Λειψάνων προκειμένη θήκη περιβλεπτος παντοίαις πᾶσι δοξάζεται ταῖς τερατουργίαις, καὶ ὁ Θαυματουργὸς ζῶν Σπυρίδων θαύμασι πάντας ἐκπλήττει καὶ μετὰ θάνατον.

Ὑστερούσῃ γάρ ποτε τῇ Κερκυραίων Νήσῳ τῶν πρὸς τὸ ζῆν, λιμῷ τε συνεχομένῃ βιαίῳ, σίτους διὰ πλοίων ὁ Ἅγιος ἐχαρίσατο, ἐπιφανεὶς τοῖς Ναυκλήροις, καὶ τὴν τῆς Νήσου τούτοις ἐν τῷ ἁγίῳ Σαββάτῳ προμηνυσάμενος χρείαν· διὸ καὶ λαμπρὸν καὶ τερπνὸν τῇ στυγερᾷ Νήσῳ τὸ τότε συνέβη Πάσχα τῇ τοῦ Ἁγίου προμηθείᾳ. Καὶ Θεοδώρῳ τινὶ ἐξ Ἐώας ἐμπόρῳ τέλεον τῆς τῶν ὀφθαλμῶν στερηθέντι ἀράσεως, καὶ τῷ τοῦ Ἁγίου Νῷ θερμῇ τῇ πίστει δραμόντι, ὀξότατον τὸ φῶς ἐδωρήσατο. Καὶ λοιμοῦ τὴν τῶν Κερκυραίων λυμαίνοντος Πόλιν, πάντων τε τῷ τοῦ Ἁγίου προστρεχόντων ἐδιαφόρως Τεμένει, ἐν οἷς καὶ βουβῶσι πολλοὶ συνήχοντο· ἐξ οὗ τὴν Πόλιν διὰ μιάσματος διαφθαρῆναι φύσεως ἔδει νόμοις, οὐδὲν σχεδὸν πέπονθεν ὁ εὐλαβὴς ἐκεῖνος λαὸς, ἀλλ' ἐν τάχει τῆς προτέρας ὑγιεινῆς ἠξίωτο καταστάσεως, τῇ τοῦ Ἁγίου μεσιτείᾳ. Τὸ δὲ τοὺς ἐκ τῆς ὑψορρόφου ἀκρότητος τοῦ Κωδονοστασίου τῆς τοῦ Ἁγίου Ἐκκλησίας κεραυνικῇ βίᾳ καταχρημνισθέντας, ὡς πρὸς τὸ τὴν ἐκεῖσε φλόγα κατασβέσαι εὐλαβείας ζήλῳ ἀδεῶς ἀναβάντας, καὶ μηδὲν παθόντας κακὸν, τίνα τῷ θαύματι οὐκ ἐξέπληξε;

Προσέτι δὲ καὶ τυφλοὺς τῶν ἑρετῶν δύω, τοὺς καὶ ὡς ἀχρείους ἐκ τῶν Ἐνετῶν στόλου καταβληθέντας, τὸν μὲν, ἐκ τῆς Ἀντωνίου τοῦ Βερνάρδου τριήρεως, τὸν δὲ, ἐκ τῆς Ἱερονύμου τοῦ Μαυρικηνοῦ, ὁλοκλήρῳ τῇ ὁράσει παρέδωκε, καὶ τὸ, μέγας ὁ Κερκυραίων Σπυρίδων, πάντας ἀλαλλάξαι πεποίηκε, τῇ τοῦ τερατουργήματος αὐτοψίᾳ καταπλαγέντας. Καί τινα τῶν προκρίτων Κυριαρχούντων κενὰ ληροῦντα καὶ φρυαττόμενον, καὶ παιδὶ ἀνιάτως ἔχοντι καταγελῶντα, ὡς ὑπὸ τὴν τῶν Λειψάνων τοῦ Ἁγίου θήκην θεραπείας χάριν καταπεσόντι, ἐν τῷ προσπορεύεσθαι ὡς ἔθος αὐτῆς παλαιὸν, καὶ πάτριος νόμος, τόν τε Κλῆρον καὶ τὸν λαὸν μετ' αὐτοῦ τοῦ Ἁγίου, καὶ τῶν Εἰκόνων τῆς Θεομήτορος, ἔτι δὲ καὶ προσκλαίοντας αὐτοῦ χλευάζοντα τοὺς γονεῖς, ἡ θεία δίκη θᾶττον ὑπέφθασε· πυρεβόλου αὐτῇ τῇ ὥρᾳ ἐξάπινα διαῤῥαγέντος, καὶ τὸν τούτου δεξιὸν ὀφθαλμὸν κατωρύξαντος, οὗτος πολλοὶ καὶ τότε ζῶντες αὐτόπται καὶ μάρτυρες καὶ περ ὁλονύκτιος ἦν αὐτῷ μετὰ ταῦτα ἐν τῷ ναῷ τοῦ Σπυρίδωνος ἡ μετάνοια, καὶ πανύχιοι μετὰ δακρύων αἱ προσευχαί.

Ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις, τῷ χιλιοστῷ δηλαδὴ καὶ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ σωτηρίῳ ἔτει, λοιμώδους πάλιν μιάσματος ἀγροὺς καὶ Πόλιν, καὶ κώμας λελυμασμένου, ὥστε πᾶσιν ἀφύκτως ὠμὸν ἐπικρέμασθαι θάνατον, σχεδόν τε πᾶσιν ἀπολωλέναι τὴν Νῆσον, (καὶ ταῦτά γε δὶς κατὰ τὸ αὐτὸ ἔτος) ὁ θαυματουργὸς οὗτος τὴν νόσον ἴασατο, ἐξ ἀσθενείας ὡς τάχιστα πάντας ἀναλαβὼν, ἄρδην τε ἀνερρῶσαι ποιήσας. Καὶ μέγα ἦν, τῇ ἡμέρᾳ τῆς Πανηγύρεως τοῦ ἐν τῷ τυφλῷ Θεωδώρῳ γεγονότος ὑπὸ τοῦ Ἁγίου θαύματος, δεκάτῃ τρίτῃ τοῦ Ἰουλίου, τοὺς ἤδη ἡμιθανεῖς, μηκέτι λοιμώττοντας ἀκαρῆ κατιδεῖν· καὶ τὸ δεύτε-

ρον, αὐτῇ τῇ τῶν Βαΐων ἡμέρᾳ τῆς ἐτησίου Λιτῆς τοῦ μεγάλου Σπυρίδωνος, πεπαυμένον ἤδη θεάσασθαι, (ὢ τοῦ θαύματος!) τὸν λοιμόν.

Τὸ δὲ ἔσχατον, καὶ ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις, καὶ πρὸ τῶν ἡμῶν ὀφθαλμῶν, ἀξιάκουστον πάνυ, καὶ ἀξιάγαστον. Ἐν γὰρ τῷ ἐνεστῶτι ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ δεκάτῳ ἕκτῳ Ἰουνίου εἰκοστῇ τετάρτῃ, μετὰ λυσσώδους ὁρμῆς τῶν ἀθέων Ἀγαρηνῶν, διά τε γῆς, καὶ θαλάσσης ἐπιδραμόντων, καὶ τὴν Πόλιν ἡμῶν Κερκύραν δεινῶς καταπολεμούντων, οἱ Πιστοὶ πάντες εἰς τὴν τοῦ κοινοῦ Πατρὸς προστασίαν, καὶ σκέπην, μετὰ πολλῆς εὐλαβείας κατέφυγον· ἀλλὰ καὶ τοῦ σκοποῦ οὐκ ἀπέτυχον· ἐπειδὴ ἐξάπινα ὑπὲρ λόγον, καὶ πᾶσαν ἐλπίδα οἱ ἀντίδικοι, καὶ περικαθήμενοι, ὡς ἀστραπαὶ ἠφανίσθησαν, ἐκτρεπόμενοι εἰς ὀξυτάτην φυγήν, κατὰ τὴν πρώτην καὶ δεκάτην Αὐγούστου, μηδενὸς τότε αὐτοὺς διώκοντος, εἰμὴ μόνης τῆς ἀοράτου δυνάμεως τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, διὰ τῶν δραστικωτάτων εὐχῶν τοῦ Ἁγίου· ὅθεν καὶ ἡ εὐγνώμων τῶν θεοφρουρήτων ἡμῶν Ἀριστοκρατούντων εὐσέβεια ἀργυρότευκτον Λυχνίαν πολύφωτον εἰς τὸν πάνσεπτον αὐτοῦ Ναὸν εὐθέως ἀπέστειλε, καὶ κοινῷ βουλεύματι διετάξατο Λιτὴν ἐνιαύσιον μετὰ τοῦ θεσπεσιωτάτου Λειψάνου, κατὰ τὴν αὐτὴν ἡμέραν τῆς ἐλευθερώσεως γίγνεσθαι· καὶ προσέτι ἑκατὸν πεντήκοντα ἀργυρᾶ νομίσματα τοῖς πτωχοῖς διανέμεσθαι, παρά τε τοῦ Ἀρχιεπισκόπου καὶ τοῦ Ἀρχιπρεσβυτέρου τῆς Πόλεως, εἰς ἀΐδιον μνήμην, καὶ εὐχαριστίαν. Ἀλλὰ τίς ἂν ἔχοι διεξιέναι καθ' ἕκαστον τὰ διὰ τοῦ πολιούχου Πατρὸς ἡμῶν τερατουργούμενα καθ' ἑκάστην; Χρυσόστομον ἔδει παρεῖναι, καὶ πανηγυρίσαι Σπυρίδωνος τὰ τεράστια· πηλίνῃ γλώττῃ οὐ θέμις. Χριστῷ τῷ Σωτῆρι ἐν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ, ζ'. Ὁ Εἱρμὸς. Δὶς.

»Ῥήτορες ἀνεδείχθησαν Παῖδες, φιλοσοφώτατοι ποτὲ· »ἐκ θεολήπτου ψυχῆς γὰρ, θεολογοῦντες χείλεσιν ἔ»μελπον· ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς »εὐλογητὸς εἶ.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἑώρα ἐν νυκτὶ Ἰακὼβ μὲν, ὡς ἐν αἰνίγματι Θεὸν σεσαρκωμένον, ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσιν· ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν.

Σύμβολα τῆς ἐν σοὶ ἀπορρήτου, προκαταγγέλλων συμπλοκῆς, τῷ Ἰακὼβ προσπαλαίει· δι' ἧς ἐκὼν ἠνώθη ἀνθρώποις Ἁγνὴ, ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Στίχ. Καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς.

Βέβηλος ὁ μὴ ἕνα κηρύττων, τὸν τῆς Παρθένου σε Υἱὸν, τῆς πανυμνήτου Τριάδος, καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν· ὁ ὑπέρθεος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ·

Στίχ. Καὶ ἐπὶ τὴν Πόλιν τὴν Ἁγίαν.

Νόμου σε τὸ κεφάλαιον Κόρη, καὶ Προφητῶν ὁ Γαβριὴλ, ὑποδεικνύων ἐβόα· ἰδοὺ σὺ τίκτεις μόνη πανύμνητε, τὸν ὑπέρθεον τῶν Πατέρων καὶ ἡμῶν Θεὸν Εὐλογημένη.

Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Μωσέως τὸ ἄπλαστον, Δαβὶδ τὸ πρᾷον, Ἰὼβ τοῦ Αὐσίτιδος, τὸ ἄμεμπτον κτησάμενος, τοῦ Πνεύματος γέγονας κατοικητήριον, μέλπων Ἱερώτατε· ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Στίχ. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου.

Ψεκάδες τῇ Κάρᾳ σου ἐν ὥρᾳ θέρους, οὐράνιαι στάζουσαι, τὸ μέλλον προεκήρυττον. Θεὸς γὰρ ὡς ἔφησας τὴν θείαν μνήμην σου, ἔνδοξε ἐδόξασε πιστούς, καθαγιάζων τῇ μεσιτείᾳ σου.

Στίχ. Εὐλογημένος εἶ ἐν τῷ Ναῷ.

Συνόδῳ Πατέρων σε Θεὸς δοξάζει, ἐν κρίσει φυλάξαντα, τοὺς λόγους σου μακάριε· οὓς πίστει προσήγαγες τὸν ἀλογώτατον, Ἄρειον μωραίνοντας σαφῶς, καὶ καταργοῦντας τὴν τούτου ἔνστασιν.

Στίχ. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους. Θεοτοκίον.

Τὸν βότρυν ἐβλάστησας ἀρρήτῳ λόγῳ, Παρθένε ὡς ἄμπελος, τὸν μόνον ἀναβλύζοντα, οἶνον ἀγεώργητον πάντας εὐφραίνοντα, πάντας ἀγιάζοντα βροτοὺς, καὶ πᾶσαν μέθην δεινῶν ἐξαίροντα.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Στίχ. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης.

Δαβὶδ μὲν βασιλεύειν, ἐκ ποιμνίου, ἐκλεχθεὶς ὡς γέγραπται, σὺ δὲ θαυμάσιε πιστὸς, ἐκ ποιμένος ἀναδέδειξαι, ἱερουργὸς πανευπρεπὴς, βοῶν τῷ Κτίστῃ σου· ὁ τῶν Πατέρων Θεὸς εὐλογητός εἶ.

Στίχ. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι.

Ἐξίσταντο οἱ ὄχλοι, μὴ ὁρῶντες νοερῶν Δυνάμεων, θεῖα στρατεύματα Χριστοῦ, ἐν Ναῷ, ἀλλὰ τὸν Δίκαιον, σὺν αὐτοῖς συλλειτουργοῦντα καὶ συμψάλλοντα· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Ὡς λόγον ἀληθείας, σὺ ἐκφαίνων εὐσεβῶς ἐκήρυττες, τὸ ὁμοούσιον λαμπρῶς, ἀφιστῶν τῆς πλάνης Ἄρειον· τὴν Τριάδα πείθων δὲ κηρύττειν μέλποντα, τοῖς τῶν Πατέρων ὀρθοῖς, ἑπόμενον λογίοις.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Θεία μυροθήκη, τὸ εὐῶδες μῦρον ἔνδον φέρουσα, ἐν τῷ σπηλαίῳ Βηθλεὲμ, ἐκκενῶσαι τοῦτο ἔσχεται, εὐωδίας μυστικῆς πληροῦν τοὺς μέλποντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασία.

«Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προ»στάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ »ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλ»λον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ ἡ. Ὁ Εἱρμὸς Δίς.

«Ἐνδάλματος χρυσοῦ, καταπτύσαντες τρισόλβιοι Νε»ανίαι, τὴν ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ Εἰκόνα, »τεθεαμένοι μέσον τοῦ πυρὸς ἀνέμελπον· ἡ οὐσιωθεῖ»σα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπεριψού»τω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἰσχὺν σε κραταιὰν, καὶ ἀντίληψιν, κεκτήμεθα Θεο

τόκε, καὶ τὴν κακίαν ἐκτρεπόμεθα, τῶν μισούντων τῇ σῇ δυνάμει, πίστει μελῳδοῦντες ἅπαντες· ἡ σωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε Ἄγγελοι Κυρίου.

Ὡράθη ἐπὶ γῆς, διὰ σοῦ, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ὁ ἀγαθότητι ἀσύγκριτος, καὶ δυνάμει, ᾧ μελῳδοῦντες, πάντες οἱ πιστοὶ κραυγάζομεν· ἡ σωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπὲρ ἄνω.

Κυρίως σὲ Ἁγνὴν, καταγγέλλοντες δοξάζομεν Θεοτόκε· σὺ γὰρ τὸν ἕνα ἀπεκύησας, τῆς Τριάδος σεσαρκωμένον, ᾧ σὺν τῷ Πατρὶ καὶ Πνεύματι πάντες μελῳδοῦμεν· ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογεῖτε Ἥλιος καὶ Σελήνη.

Εὐθύτης ἡ σοφῶς τὸ πᾶν διευθύνουσα, ἠγάπησεν ἐπαξίως, σὲ τὴν πανάμωμον καὶ πανάχραντον Θεοτόκον, ἀνερμηνεύτως Πάναγνε ἐν σοὶ σκηνώσασα· ἣν δοξολογοῦμεν, ὑμνείτω κραυγάζοντες πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Κάμινος ποτὲ πυρός.

Στίχ. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ Οὐρανοῦ.

Κάμινον παθῶν ταῖς θείαις ἐπομβρίαις, τοῦ θείου Πνεύματος κατέσβεσας, καὶ δρόσον ἐπήγασας νοσημάτων Πάτερ καύσωνα, ἐξαίρουσαν τῶν πίστει σοι, πάντοτε προσιόντων, μάκαρ Σπυρίδων παγόλβιε.

Στίχ. Εὐλογεῖτε Υἱοὶ τῶν ἀνθρώπων.

Ἄκακος εὐθὺς καὶ πρᾶος συμπαθής τε, καὶ ἀνεξίκακος γεγένησαι, ἀγάπης φιλόξενος, Ἱεράρχης ἱερώτατος, φρονήματι κοσμούμενος, Ὅσιε ὀρθοδόξῳ· ὅθεν σε πίστει γεραίρομεν.

Στίχ. Εὐλογεῖτε Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου.

Πάλαι σοι φωνὴν ὡς ζῶσα ἡ θανοῦσα, διερωτῶντι Πάτερ δέδωκεν· ὦ θαῦμα ἐξαίσιον· ὦ παράδοξον μυστήριον· ὦ χάριτος ἧς ἔτυχες, βίῳ κεκοσμημένος, Ἀγγελικῷ ἀξιάγαστε.

Θεοτοκίον.

Στίχ. Εὐλογεῖτε Πνεύματα, καὶ ψυχαὶ Δικαίων.

Πάθη τῆς ἐμῆς καρδίας Θεοτόκε, τῇ συμπαθείᾳ σου θεράπευσον, τὸν νοῦν μου εἰρήνευσον, τὴν ψυχήν μου φωταγώγησον, καὶ βαίνειν με εὐόδωσον, τρίβους πρὸς σωτηρίους, ὅπως ἀεὶ μεγαλύνω σε.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Στίχ. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία.

Τίς σου τὰς θαυματουργίας ἀριθμήσει, Ἱεράρχα, Σπυρίδων θεόφρον; ὑετοὺς κατήγαγες, οὐρανίους σῇ προσευχῇ· προσφωνοῦντί σοι Σοφὲ παῖς ἀποκρίνεται· καὶ ροῦν ποταμῶν σὺ ἀνεχαίτισας, καὶ σὸν φίλον

ἐν τάχει μάκαρ διέσωσας, Ἄνακτα ἱάσω, καὶ ξένα ἐπετέλεις.

Στίχ. Εὐλογεῖτε Ἀπόστολοι, Προφῆται καὶ Μάρτυρες.

Ἤλεγξας Αἱρετικῶν τὰς κακονοίας, τῶν ἁπλῶν σου δογμάτων τοῖς λόγοις· πίστιν γὰρ ὀρθόδοξον, Ἱεράρχα καὶ ἀκλινῆ, Θεοφάντορ ἐκδιδάξας, ἀνεκήρυξας, διὸ ἀνυμνοῦντες ἀναμέλψομεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα.

Θαύματα ὑπερφυῶς τοῖς ἀσθενοῦσιν, ἀναβλύζει σου πάτερ ἡ Θήκη· ἐπαξίως ὤφθης γὰρ, σκεῦος θεῖον τῆς ἐκλογῆς, καὶ λειμὼν τῆς ἀπαθείας εὐωδέστατος πιστοὺς καθηδύνων τοὺς τιμῶντάς σου, τὴν ἁγίαν καὶ θείαν φαιδρὰν καὶ ἔνδοξον, κοίμησιν ἀξίως, Σπυρίδων Θεοφόρε.

Καὶ νῦν. Θεοτοκίον.

Ἄκουσμα καινὸν σὺ ὦ Παρθένε κόρη· μόνη τίκτεις γὰρ ἄφραστον τόκον, τὸν Σωτῆρα Κύριον, ἀπειράνδρως τὴν σὴν νηδὺν, τὴν πανάχραντον σφραγίσαντα ὡς οἶδεν αὐτός· διὸ γεγηθότες ἐκβοῶμέν σοι· χαῖρε πάντων τῶν εὐσεβῶν τὸ διάσωσμα, μὴ παύσῃ πρεσβεύειν ἡμᾶς ἐλεηθῆναι.

Κατάβασία.

«Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κά»μινος τύπον· οὐ γὰρ ἐδέξατο, φλέγει νέους, ὡς νύ-

»δὲ πῦρ, τῆς Θεότητος Παρθένου ἣν ὑπέδυ νηδύν· »διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις· »πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς »αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός. Δίς.

«Ὅλος ὑπάρχεις ἔφεσις, ὅλος γλυκασμός, Λόγε »Θεοῦ, Παρθένου Υἱὲ, Θεὲ Θεῶν Κύριε, Ἁγίων »Ὑπεράγιε· διό σε ἅπαντες, σὺν τῇ τεκούσῃ μεγαλύ»νομεν.

Στίχ. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ.

Ὅλη ὑπάρχεις ἄμωμος, ὅλη καθαρὰ, Μήτηρ Θεοῦ Παρθένε Ἁγνὴ λαοῦ πιστοῦ στήριγμα, Ἀγγέλων ὑπερέχουσα· διὸ σε ἅπαντες, ὡς Θεοτόκον μεγαλύνομεν.

Στίχ. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν.

Ῥάβδος ἰσχύος δέδοται, φύσει τῇ σαθρᾷ, Λόγος Θεοῦ ἐν μήτρᾳ σου Ἁγνὴ, καὶ ταύτην ἀνέστησε πρὸς ἄδην ὀλισθήσασαν· διὸ σε ἅπαντες, ὡς Θεοτόκον μεγαλύνομεν.

Στίχ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν Ἁγίων.

Ἣν ἠρετίσω Δέσποτα, δέξαι συμπαθῶς, πρέσβιν Μητέρα σὴν ὑπὲρ ἡμῶν, καὶ σοῦ τῆς χρηστότητος τὰ σύμπαντα πλησθήσοντα· ἵνα σε ἅπαντες, ὡς εὐεργέτην μεγαλύνωμεν.

Στίχ. Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν.

Νενοηκώς σου Πάναγνε, τὸ φωτοειδὲς, τῆς Παρθε-

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΕΙΟΣ

νίας καὶ καταπλαγεὶς, χαράν σοι ἐβόησεν, ὁ θεῖος Ἀρχιστράτηγος· διό σε ἅπαντες ὡς Θεοτόκον μεγαλύνομεν.

Ἄλλος. Ἀνάρχου Γεννήτορος Υἱὸς Θεός.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν Πατέρα.

Ἀνάρχου Γεννήτορος, τρανῶς Υἱὸν ἐκήρυξας, ὁμοούσιον Πάτερ καὶ συναΐδιον, μέσον Θεοφόρων Πατέρων, μεγαλυνθεὶς, καὶ τῶν ἀνομούντων, ἐμφράξας τὰ στόματα, Ἱεράρχα παμμακάριστε.

Στίχ. Λατρεύειν αὐτῷ ἐν ὁσιότητι.

Πολύφωτε Ἥλιε, Πατέρων ἐγκαλλώπισμα, Ἱερέων τὸ κλέος, Ἀγγέλων σύσκηνε, τοὺς τὴν φωτοφόρον σου μνήμην, χαρμονικῶς νῦν ἐπιτελοῦντας, φωτὸς καταξίωσον ἀνεσπέρου ταῖς πρεσβείαις σου.

Στίχ. Καὶ σὺ παιδίον Προφήτης ὑψίστου κληθήσῃ.

Τὰ θεῖα σκηνώματα, ἡ Πόλις ἡ Οὐράνιος, ἡ τῶν ἑορταζόντων τερπνὴ ὁμήγυρις, τὴν ἡγιασμένην ψυχήν σου, καὶ ἀρεταῖς καθωραϊσμένην, παμμάκαρ ἐδέξαντο ἐν φωνῇ ἀγαλλιάσεως.

Στίχ. Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ.

Θεοτοκίον.

Τὸ μέγα μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, καταπλήττει Ἀγγέλους θεοχαρίτωτε· θέλγει τῶν Ὁσίων τὸν δῆμον, τοὺς ἱεροὺς εὐφραίνει Πατέρας, ἐνθέως ὑμνοῦντάς σε τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἄλλος. Μυστήριον ξένον ὁρῶ.

Στίχ. Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολή.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τοῖς κινδύνοις, ῥύστην καὶ προστάτην, Σπυρίδωνα τὸν μέγαν.

Χορεύσωμεν, πνευματικῶς ὦ φιλέορτοι, καὶ χεῖρας χροτήσωμεν, ᾄσμασιν ἀνυμνοῦντες τὸν μέγαν, καὶ θεῖον Ποιμένα, οὗ νῦν Σκῆνος πᾶσι τὸ πανίερον, πιστοῖς χορηγεῖ, ῥῶσιν ψυχῆς ὁμοῦ καὶ σώματος.

Στίχ. Τοῦ κατευθῆναι τοὺς πόδας ἡμῶν.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τοῖς κινδύνοις, ῥύστην καὶ προστάτην, Σπυρίδωνα τὸν μέγαν.

Ἐκήρυξας, μέσον Συνόδου Θεόσοφε, Λόγον τὸν συνάναρχον. Ἅμα δὲ καὶ ληρώδη καθεῖλες, Ἀρείου τὴν δόξαν, Σοφὲ, καὶ τὴν Σύνοδον ἐκύρωσας καὶ γὰρ ὤφθης σὺ, ὄντως τῆς Πίστεως ὑπέρμαχος.

Δόξα. Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Θρόνῳ Θεοῦ, παρεστηκὼς παμμακάριστε, σὺν θείοις στρατεύμασι, πάντων τῶν νοερῶν Ἀσωμάτων· μὴ παύσῃ πρεσβεύειν, ἀεὶ τὸν φιλάνθρωπον καὶ Κύριον, Χριστὸν τὸν Θεὸν, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε.

Καὶ νῦν. Θεοτοκίον. Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Ὑμνοῦμέν σε, εὐλογημένη Πανύμνητε· ἣν ὑμνοῦσιν Ἄγγελοι πάντες, καὶ θεοφόροι Πατέρες, καὶ πᾶσα

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ἡ Κτίσις, Θεὸν ὑπεράγιον ὡς τέξασαν· αὐτὸν ἐλεεῖν, τοὺς σὲ ὑμνοῦντας καθικέτευε.

Καταβασία.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ σπηλαίῳ, καὶ ἐκ τῆς Παρθένου τεχθέντα Βασιλέα.

» Μυστήριον, ξένον ὁρῶ καὶ παράδοξον. Οὐρανὸν τὸ »σπήλαιον· Θρόνον Χερουβικὸν τὴν Παρθένον· τὴν »φάτνην χωρίον, ἐν ᾧ ἀνεκλήθη ὁ ἀχώρητος, Χριστὸς »ὁ Θεὸς· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.

Σπυρίδωνα τὸν μέγιστον, καὶ Ἱεράρχην ἅπαντες, νῦν οἱ πιστοὶ συνελθόντες, ἀξίως ἀνευφημοῦμεν· πηγὴ γὰρ χαριτόβρυτος, πολλῶν θαυμάτων πέφηνεν· ἐν μέσῳ δὲ διέλαμψε, τῆς τε Συνόδου τῆς θείας, τὸν Ἄρειον καταισχύνας.

Δίς. Θεοτοκίον.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, τὸν σὸν Υἱὸν Θεοτόκε τρανῶς καθομολογοῦντες, Θεὸν τῶν ὅλων πάναγνε. Μεθ' ὧν σε μεγαλύνομεν, καὶ πίστει σε δοξάζομεν, οἱ διὰ σοῦ λυτρωθέντες, τῆς παλαιᾶς καταδίκης.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. ά. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.

Ἦχος ά. Τῶν Οὐρανίων ταγμάτων.

Τῆς Ἐκκλησίας τὰ ἄνθη περιῤῥάμενος, ὡς νεοσσὸς

τῆς ἄνω καλιᾶς τῶν Ἀγγέλων, Σπυρίδων θεοφόρε, σώζεις ἀεὶ, τοὺς θερμῶς δεομένους σου· καὶ ἐκ κινδύνων λυτροῦσαι καὶ πειρασμῶν, τὸν Θεὸν ἐξιλεούμενος.

Τῆς ἱερᾶς διπλοΐδος τὴν ὡραιότητα, ταῖς πρακτικαῖς εἰργάσω ἀρεταῖς, λαμπροτέραν, Πάτερ θεοφόρε. Ὅθεν ἡμῖν, ἐκτελεῖς τὰ τεράστια, τῶν ἀοιδίμων θαυμάτων ἱερουργὲ, καὶ δεινῶν ἡμᾶς λυτρούμενος.

Τῶν ἀθεάτων τὰ κάλλη, περιερχόμενος, τὴν φοβερὰν ἐκείνην κατενόησας δόξαν, θεῖε Ἱεράρχα· ὅθεν καὶ νῦν, τὰ ἀπόῤῥητα Ἅγιε, τῶν ὑπὲρ λόγον ἐκείνων θεωριῶν, ἐποπτεύεις ἱερώτατε.

Δόξα. Ἦχος, πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐπὶ τῇ σεβασμίᾳ μνήμῃ τοῦ Ἱεράρχου πιστοί. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν Θεοφόρον κοσμείτωσαν ἐν ὕμνοις, ὡς δογμάτων βλύσαντα ποταμοὺς ὑπερμεγέθεις ἀειζώους τοῦ Πνεύματος. Ποιμένες καὶ Διδάσκαλοι, τὸν τῆς σεπτῆς Τριάδος θεῖον Ἱερομύστην συνελθόντες εὐφημήσωμεν· οἱ Φιλόσοφοι τὸν Σοφόν· οἱ Ἱερεῖς τὸν Ποιμένα, οἱ ἁμαρτωλοὶ τὸν προστάτην· οἱ πένητες τὸν πλουτιστήν· οἱ ἐν θλίψεσι τὸν παραμυθοῦντα· τὸν συνοδίτην οἱ ὁδοιπόροι· οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην· οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, Σπυρίδωνα τὸν Ἱεράρχην ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· Πανάγιε διδάσκαλε, σπεῦ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΤΡΙΣΤΙΚΗΣ ΚΑΙ ΒΥΖΑΝΤΙΝΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ

σον ἐξελοῦ σοὺς δούλους ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι πολάσεων τῶν αἰωνίων ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα συνελθόντες εὐφημήσωμεν· τὴν λυχνίαν τὴν χρυσαυγῆ· τὴν φωτοφόρον νεφέλην· τὴν τῶν Οὐρανῶν πλατυτέραν· τὴν ἔμψυχόν τε κιβωτόν· τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον· τὴν μανναδόχον χρυσέαν στάμνον· τὴν κεκλεισμένην τοῦ Λόγου πύλην· τὴν πάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες οὕτως εἴπωμεν· παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς Οὐρανῶν Βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὠδὴ γ'. καὶ ς'. Ὁ Ἀπόστολος, εἰς Ἱεράρχην.
Πρὸς Ἑβραίους. Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς.
Εὐαγγέλιον, κατὰ Ἰωάννην.
Εἶπεν ὁ Κύριος, Ἐγώ εἰμι ἡ θύρα. Μεγαλυνάριον.

Χαίροις Τριμυθοῦντος ἡ καλλονή· χαίροις Κερκυραίων ὁ σοφώτατος ἰατρός· χαίροις τῆς Τριάδος ὁ θεῖος μυστολέκτης· Πατέρων μέγα κλέος, Σπυρίδων Ὅσιε.

Εἰδὲ βούλει φύλλε καί τι ἐκ τῶν ἑπομένων,
χάριν εὐλαβείας προστεθέντων.

Αἰνέσωμεν πάντες χαρμονικῶς, τὸν θερμὸν Προστάτην, καὶ ὑπέρμαχον κρατσιὸν, τὸν σώσαντα νῆσον, ἁλώσεως βαρβάρων, Σπυρίδωνα Κερκύρας μέγιστον καύχημα.

Ἀξίως σὲ μέλποντες τὸν λαμπρὸν, Κερκύρας φωστῆρα, καὶ εὐήκοον βοηθὸν, καὶ σὲ δυσωποῦντες οὐ παύσομεν ἀφθόνως, ἵνα ταῖς σαῖς πρεσβείαις ρυσθῶμεν βλάψεων.

Τίς ἐξαριθμήσει σου τὴν πληθὺν, τῶν θαυμάτων Μάκαρ; ἐξανέστησας γὰρ νεκρούς· λοίμην, πεῖναν, νόσους, καὶ δυσμενεῖς καθεῖλες, καὶ ἐκ χειρῶν ἀνόμων ἡμᾶς ἐξήγαγες.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Τέλος, καὶ τῷ Θεῷ Χάρις.

ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ

ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

ΣΠΥΡΙΔΩΝΑ

ΨΑΛΛΟΜΕΝΑ

ΕΝ ΤΗ ΑΡΧΗ ΤΗΣ ΑΓΡΥΠΝΙΑΣ

Τῆς Ἁγίας Μνήμης αὐτοῦ, καὶ ἐν ταῖς Λιταῖς

τοῦ αὐτοῦ Ἁγίου.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Κερκύρας ὦ Σπυρίδων τὸ καύχημα, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Μακαρίζομέν σε, καθορῶντες τρανῶς, ὥσπερ ζῶντά σε τῷ θείῳ Λειψάνῳ σου, ἐξ οὗ βρύει τῶν θαυμάτων ἡ πληθύς.

Ἡ ἀκροστιχὶς κατὰ Ἀλφάβητον.

Ἄπνους οὐχ ὑπάρχεις, ὁ χερσὶ τοῦ Θεοῦ, τὴν ψυχήν σου ἀναθήσας θεσπέσιε, ἀλλὰ ζῇς χοροῖς Μακάρων καὶ σκηναῖς.

Βαίνεις παραδόξως, πρὸς τὸν ἄνω χορόν, καὶ τὰ τάγματα Ἀγγέλων προσδέχεται, σοῦ τὴν θείαν καὶ ἀμώμητον ψυχήν.

Γῆ, καὶ πόλος, ἄστρα, καὶ στοιχεῖα ὁμοῦ, ἡ Σελήνη, καὶ ὁ Ἥλιος σήμερον, ἄνδρες, Ἄγγελοι αἰνοῦσί σε σοφέ.

Δός μοι τῷ σῷ δούλῳ τῶν χαρίτων τῶν σῶν, τὰς

ψεκάδας ὅπως ἄσω τὰ θαύματα, κατ' ἀξίαν ἃ ἐποίησας εὐχῇ.

Ἔχει τὸ σὸν Σῶμα, ὡς κειμήλιον γῆ, τῆς Κερκύρας ἡ πολύφημος πάνσοφε, δι' οὗ σώζεται πασῶν ἐξ ἀναγκῶν.

Ζῇς θεῖε Σπυρίδων, εἰ καὶ ἄπνους δοκεῖς· οὐδενὸς γὰρ ἐνδεές σου τὸ Λείψανον, εἰμὴ μόνον τοῦ λαλῆσαι ζωηρῶς.

Ἡμβλυνας Τρισμάκαρ, τῶν ἀθέων ἐχθρῶν, ἐν Συνόδῳ τὰ κεντρώδη ληρήματα, τὴν Τριάδα παραστήσας προφανῶς.

Θείᾳ σου σοφίᾳ, οὐ σοφίᾳ φθαρτοῦ, τοῦ παράφρονος Ἀρείου ἀπήλεγξας, φλυαρίας καὶ κατήσχυνας αὐτόν.

Ἴθυνας τὸ βέλος, πρὸς καρδίαν ἐχθρῶν, καὶ κατέβαλες αὐτοὺς καὶ τὸ τρόπαιον, ἐν Συνόδῳ ἐπανέβηκας πιστοῖς.

Κάτω ὑποκύψας, Κεραμίδα ἐκ γῆς, ἐπανείληφας δι' ἧς τὸ Τρισήλιον, φῶς ἀνέδειξας Θεότητος μιᾶς.

Λίαν ἐν παλάμῃ, σφίγξας θεῖε φωστὴρ, Κεραμίδα πῦρ καὶ ὕδωρ ἅμα καὶ γῆν, διεχώρισας, Τριάδα φανερῶν.

Μόνῃ σου δεήσει, οὐρανόθεν ἐν γῇ, ὑετὸν Σπυρίδων θεῖε κατήγαγες, καὶ ἐκόρεσας διψῶσαν πᾶσαν γῆν.

Νάματα διψώσῃ, σὺ κατάγεις ἐν γῇ, καὶ τὰ πλήθη τῶν ὑδάτων κωλύεις σὺ, παρρησίᾳ, ἣν σὺ ἔχεις πρὸς Θεόν.

Ξένως ἐνηλλάξω, εἰς χρυσίον λαμπρὸν, σὺ τὸν Ὄφιν ἀλλὰ πάλιν ἐποίησας, εἶναι ὄφιν τὸν χρυσὸν ὡς καὶ πρὸ τοῦ.

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

Ὄμβρους τῇ αὐχμώδει, σὺ κατήγαγες γῇ, ὡς Ἠλίας ὁ Θεσβίτης θεσπέσιε, καὶ ἐθαύμασε βροτῶν πᾶσα πληθύς.

Πάσας ἀποθήκας, σὺ καθεῖλες σοφὲ, τῶν σιτοκαπήλων τότε καὶ ἔλυσας, ψυχολέτηρα, καὶ κάκιστον λιμόν.

Ῥεύματα ῥοώδη, ὡς Ἠλίας ποτὲ, Ἐλισσαῖος, Ἰησοῦς τε ὁ τοῦ Ναυῆ, λόγῳ ἔστησας Σπυρίδων ἐν τῷ σῷ.

Ξῶσαι θέλων Πάτερ, ἐκ λιμοῦ τὸν λαὸν, ἀποθήκας οὗ ὁ σίτος κατέρραξας, καὶ ἀπέλαβον οἱ χρήζοντες αὐτοῦ.

Τάφος σου ὁ θεῖος, οὐ κατέχει νεκρὸν, ὀδωδότα, ἀλλὰ ζῶντα καὶ τέρατα, καθεκάστην ἐκτελοῦντα προφανῶς.

Ὕδραν πολλὰς κάρας, ἔχουσαν τῶν κακῶν, καὶ ἀθέων θεῖε μύστα αἱρέσεων, ἐν τῷ μέσῳ τῆς Συνόδου ἐξολεῖς.

Φρυκτωροῦσι Πάτερ, ἐν τῷ κόσμῳ τὰ σὰ, τερατώδη καὶ ξενάκουστα θαύματα, καὶ θαμβοῦσιν Ἱεράρχα πάντα νοῦν.

Χαίρουσι τὰ στίφη, τῶν Ἀγγέλων σοφὲ, καὶ Ἁγίων, καὶ Μαρτύρων δικαίων τε, συνοικοῦντά σε νῦν ἔχοντα αὐτοῖς.

Ψάλλομεν ἐν πίστει, ἀσιγήτοις φωναῖς, καὶ ταχέως τὰς αἰτήσεις λαμβάνομεν· τῶν θαυμάτων γὰρ ὑπάρχεις ἡ πηγή.

Ὤφθης ὦ Σπυρίδων, Ἄγγελος ἐπὶ γῆς· ὅθεν νῦν ἐν Οὐρανοῖς εὐφραινόμενος, σὺν Ἀγγέλοις, καὶ Ἁγίοις κατοικεῖς.

Δόξα

Προσκυνοῦμεν πάντες, τὴν Τριάδα πιστοὶ, τὴν Ἁγίαν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ πανάγιον ὁμοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ καὶ Παρθένε, προστασία πιστῶν, τὸν θεάνθρωπον Υἱόν σου ἱκέτευε, ὅπως λύσιν ἀποδῷ μοι τῶν παθῶν.

Καὶ πάλιν τὸ πρῶτον.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Κερκύρας ὦ Σπυρίδων τὸ καύχημα, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Στάσις Β'. Πρὸς τό, Ἄξιον ἐστί.

Ἄξιον ἐστὶ, μακαρίζειν σε τὸν Ἱεράρχην, Τριμυθοῦντος τὸν Θεῖον Σπυρίδωνα, καὶ Κερκύρας ἀντιλήπτορα θερμόν.

Ἄξιον ἐστὶ, τὸν Σπυρίδωνα δοξολογῆσαι, Ἄγγελον ὡς ὄντα ἐπίγειον, καὶ οὐράνιον βροτὸν ὑπερφυῶς.

Ἡ Ἀκροστιχὶς κατὰ Ἀλφάβητον.

Ἅπαντες πιστοὶ, προσενέγκωμεν τῷ Ἱεράρχῃ, ὕμνους, καὶ ᾠδὰς, νῦν χρεωστικῶς, τὰ παράδοξα κηρύττοντες αὐτοῦ.

Βλέποντες τὸ σὸν, ἀξιάγαστε θεῖε Σπυρίδων, Λείψανον ὁρῶμέν σε προφανῶς, ὥσπερ ζῶντα, καὶ λαλοῦντα μεθ' ἡμῶν.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΔΙΟΡΘΩΤΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

Γεῦσιν ἣν τρυφᾷς, Ἱερώτατε ἐν οὐρανίαις, νῦν χοροστασίαις πάντας ἡμᾶς, ἀπολαῦσαι σαῖς ἀξίωσον εὐχαῖς.

Δέλεαρ σοφὸν, προσενήνοχας ταῖς διδαχαῖς σου, ὅτε τοῦ Ἀρείου τὸ ἄθεον, ἐνστηλίτευσας ἐν μέσῳ τοῦ λαοῦ.

Ἔλυσας παθῶν, Κωνσταντίου Πάτερ ἀλγηδόνας, καὶ ὑγείαν τούτῳ ἐπόρισας, παραχρῆμα ἐν αὐτῷ θαυματουργῶν.

Ζῶσαν παριστᾷς, τὴν Εἰρήνην, καὶ αὐτὴν ἠρώτας, παρακαταθήκην ποῦ ἔθηκας; καὶ ὡς ζῶσα ἀπεκρίνατο ποῦ ἦν.

Ἤκουσεν εὐθὺς, ὁ νεκρὸς Υἱὸς ἀπὸ τοῦ ᾅδου, γυναικός τινος τοῦ σοῦ ῥήματος, καὶ ἀνέστη ὥσπερ ζῶν ἐπὶ τῆς γῆς.

Θάνατος ἐν σοὶ, οὐ κατίσχυσεν Ἀρχιεράρχα· ζῇ γὰρ ἡ ψυχή σου ἐν Οὐρανῷ, καὶ τὸ σῶμά σου ζῶν ἔστιν ἐν τῇ γῇ.

Ἴθυνας καλῶς, τὸ σὸν ποίμνιον Ἱερομύστα· ὅθεν τῷ Θεῷ παριστάμενος, δεῦρο ἤκουσας εὖ δοῦλε ἀγαθέ.

Καύματι εὐχὴν, ὁ Διάκονος κενοδοξίᾳ, πράξας ἀφωνίᾳ κολάζεται, ἀλλὰ σὺ αὐτὸν ἰάσω θαυμαστῶς.

Λύων τῶν παθῶν, ἀσθενήματα Ἱερομύστα, πᾶσι τὰς ἰάσεις ἀπένειμας, ἀφθονέστατα ἐν πάσῃ γενεᾷ.

Μάρτυρας πιστοὺς, ἐν ταῖς θείαις σου μυσταγωγίαις, ἔσχες τοὺς Ἀγγέλους ἐξ Οὐρανοῦ, λειτουργοῦντάς σοι Σπυρίδων εὐλαβῶς.

Νέμεις τὸν κριὸν, τοῖς συλήσασι τὸ ποίμνιόν σου, καὶ ἀορασίᾳ τυφλώττοντας, ἠλευθέρωσας τοῦ πάθους τοῦ δεινοῦ.

Ξόανα κωφὰ, καὶ ἀναίσθητα σοφὲ εἰδώλων, κατὰ γῆς εὐδήλως κατέῤῥαξας, καὶ ἐκήρυξας Τριάδα τὴν σεπτήν.

Ὅπως τῶν παθῶν, ἀπολαύσωμεν ἐλευθερίαν, τῇ σῇ νῦν προστρέχομεν Λάρνακι, ἀξιάγαστε Σπυρίδων οἱ πιστοί.

Πᾶσιν εὐμενῶς, ἐξαπόστειλον Θεῖε Σπυρίδων, τὰς αἰτήσεις πίστει γεραίρουσι, τὴν πανέορτόν σου μνήμην, καὶ σεπτήν.

Ῥῦσαι σαῖς εὐχαῖς, τοὺς προστρέχοντας τῷ σῷ Τεμένει, καὶ παρὰ τοῦ θείου Λειψάνου σου αἰτουμένους τὰ ἰάματα πιστῶς.

Σῶσον ἱεραῖς, καὶ ἐλέησον σαῖς μεσιτείαις, τὸν πιστὸν λαὸν τὸν προστρέχοντα, τῷ Λειψάνῳ σου Σπυρίδων τῷ σεπτῷ.

Τεῖχος βοηθὸν, καταφύγιον καὶ προστασίαν, Κερκυραῖοι πάντες σὲ ἔχοντες, σοὶ προστέχομεν ἐν θλίψεσι δεινῶν.

Ὑφαλον δεινὴν, ἃ παράνομον κακοδοξίαν, θείᾳ σου σοφίᾳ ἐδίωξας, τοῦ Ἀρείου Ἱεράρχα θαυμαστέ.

Φάνηθι κἀμοὶ, ταχινὸς Θεσπέσιε προστάτης, καὶ πυρὸς παθῶν με ἐξάρπασον, ψυχοφθόρων, καὶ δολίων τῶν χειρῶν.

Χάριτας Χριστὸς, ἀμειβόμενος τὰς ἀρετάς σου, σοὶ πολυ-

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΛΟΓΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΚΕΝΤΡΟΝ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΚΑΙ ΑΡΧΕΙΟΘΕΤΗΣΗΣ ΕΚΔΟΣΕΩΝ ΚΑΙ ΕΡΕΥΝΩΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΚΠΑΙΔΕΥΤΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΜΕΛΗΤΗΡΙΟ ΠΑΓΚΟΣΜΙΟΥ ΠΟΛΙΤΙΣΜΟΥ

τελεῖς ἐχαρίσατο· σὲ θανόντα γὰρ ὡς ζῶντα συντηρεῖ.

Ψέλισμα τοὐμόν, Ἱεράρχα δέχου αἰτησίως, τοῦ ἁμαρτωλοῦ, πάντων τε πιστῶν, προστρεχόντων τῷ Τεμένει σου σοφέ.

Ὤκησας αὐλαῖς, Οὐρανῶν πανένδοξε Σπυρίδων, καὶ Ἱεραρχῶν θεῖος ὅμιλος, σὲ προσδέχεται χορῷ τῷ ἑαυτοῦ.

Δόξα

Σὲ Τριὰς Ἁγνὴ, καὶ Ὑπέρθεε, δοξολογοῦμεν, ῥῦσαι ταῖς πρεσβείαις Σπυρίδωνος, τοὺς πιστεύοντας εἰς σὲ πανευσεβῶς.

Καὶ νῦν. Θεοτοκίον.

Πάνσεμνε Θεὸν, ἡ κυήσασα Παρθενομῆτορ, ὑπὲρ τῶν σῶν δούλων ἱκέτευε, σὲ τιμώντων καὶ ὃν ἔτεκες Υἱόν.

Καὶ πάλιν τὸ πρῶτον.

Ἄξιον ἐστὶ, μακαρίζειν σε τὸν Ἱεράρχην, Τριμυθοῦντος Θεῖον Σπυρίδωνα, καὶ Κερκύρας ἀντιλήπτορα θερμόν.

Στάσις Γ'. πρὸς τὸ, Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε τὸν Θεῖον Ἱεράρχην.

Αἱ γενεαὶ πᾶσαι, σὲ μακαριοῦμεν, Σπυρίδωνα τὸν μέγαν.

Ἡ ἀκροστιχὶς κατὰ Ἀλφάβητον.

Ἄρειον καθεῖλες, ἐν μέσῳ τῆς Συνόδου, σαῖς διδαχαῖς Θεόπτα.

Βλέπεις τὴν Τριάδα, ἣν ἐν Κεραμίδι, ἐκήρυξας τοῖς πᾶσι.

Γῆ σε οὐ κατέχει, ἀλλὰ πόλος Μῦστα, καὶ Θεῖε Ἱεράρχα.

Δύναμις σοῦ λόγου, τὴν νεκρὰν ὡς ζῶσαν, ἔδειξε παραδόξως.

Ἔδειξεν Εἰρήνη, τὴν παρακαταθήκην, ποῦ ἦν καὶ περ ἦν ἄπνους.

Ζῶσαν ἐπηρώτας, τεθνηκυῖαν Μάκαρ, ποῦ ἦν ἡ καταθήκη;

Ἤκουσε φωνῆς σου, ἐν ᾅδου ἡ Εἰρήνη, κἀκεῖθεν ἀπεκρίθη.

Θυμῷ ἀπηλέγξω, τὸν ἅρπαγα, ὦ Πάτερ, αἰγὸς καὶ πλεονέκτην.

Ἴχῶρι καὶ ἕλκει, ἡ αἰὲ ἀπετμήθη, τῆς μάνδρας τοῦ ἀδίκου.

Κύματα κατέσχες, τῶν ποταμῶν Τρισμάκαρ, μόνῳ τῷ φθέγματί σου.

Λύεις ἀφωνίαν, σὺ τοῦ ξενοδόχου, Σπυρίδων Διακόνου.

Μῆλος τῶν Ἀγγέλων, ὅτε ἱερούργεις, ἠκούετο Τρισμάκαρ.

Νέμεις τὰς ἰάσεις, παντοδαπέσι νόσοις, Θαυματουργὲ Σπυρίδων.

Ξένως ὑπουργοῦσι, σοὶ Ἀγγέλων δῆμοι, ἐν ἕδραις οὐρανίαις.

Ὄμβρους ἐν αὐχμώδει, γῇ κατάγεις Πάτερ, ἐξ Οὐρανοῦ σοῖς λόγοις.

Πῶς σε ἀνυμνήσω, Σπυρίδων κατ' ἀξίαν, ὃν Ἄγγελοι ὑμνοῦσι;

Ῥήσεις σου αἱ θεῖαι, Ἀρείου τὰς ἀθέους, ἤμβλυναν φληναφίας.

ΙΔΡΥΜΑ ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΑΝΝΑΣ ΠΑΠΑΔΑΤΟΥ

Σῶμά σου κατέχει, ὡς θησαυρὸν καὶ πλοῦτον, ἡ Κερκυραίων πόλις.
Τυφλοῦ μὲν ἐξ Ἐφάς, ὠμμάτωσας τὰς κόρας, Σπυρίδων παραδόξως.
Ὑπὸ τῶν πολλῶν μου, ἁμαρτιῶν προστρέχω, τῇ σκέπῃ σου τῇ Θείᾳ.
Φίλος ὢν Κυρίου, ἐφύλαξας Κερκύραν, ἐπιδρομῆς βαρβάρων.
Χάριν σοι Τρισμάκαρ, οἱ διὰ σοῦ σωθέντες, νέμομεν κατὰ χρέος.
Ψάλλομεν προθύμως, τὰς εὐχαριστηρίους, ᾠδάς σοι Ἱεράρχα.
Ὤφθης θερμὸς ῥύστης, ἡμῶν ἐκ πάσης βλάβης, ψυχῶν τε καὶ σωμάτων. Δόξα

Τρισήλιε Θεέ μου, διὰ τοῦ Ἱεράρχου, δός μοι πταισμάτων λύσιν. Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ Θεοτόκε, Σπυρίδωνος ἐν μνήμῃ, μεσίτρια γενοῦ μοι. Καὶ πάλιν τὸ πρῶτον.
Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὸν Θεῖον Ἱεράρχην.

ΕΥΛΟΓΗΤΑΡΙΑ.

Εἰς Ἦχον, Πλ. ά.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Τῶν ἀγγέλων τὰ πλήθη, καὶ χοροὶ τῶν ἀνθρώπων θαμβηθέντες βοῶσι· τοῦ θανάτου τὴν ἰσχὺν ὁ Σπυρίδων καθεῖλε· καὶ γὰρ ἐν τάφῳ ἐνεργεῖ τὰ θαύματα, καὶ ἐξ ἀπόντων ζῇ, ὡς ἀθάνατος.
Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Τί δακρύων, ὀχετοὺς προχέετε οἱ πιστοὶ πρὸς Ἱεράρχην; Οὐρανόθεν τῶν Ἀγγέλων ὁ χορὸς, προσεφθέγξατο τοῖς Κερκυραίοις, ἴδετε αὐτὸν νῦν ἡμεῖς καὶ ἥσθητε· ὥσπερ ζῶν μὲν γὰρ ὁρᾶται τῷ μνήματι.
Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Λίαν θερμῶς, ὁ Σπυρίδων ἔθραμε, πρὸς τὴν Σύνοδον τὴν ἐν Νικαίᾳ, καὶ ἐπέστη εὐθαρσῶς, πρὸς Ἄρειον καὶ εἶπε, μύθων ὁ καιρὸς, πέπαυται, ὦ ἄθεε, τὴν Τριάδα δὲ ὡς ἡμεῖς νῦν πίστευε.
Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Σπυρίδωνα ὑμνῆσαι.

Μυροθήκη Λειψάνου, ὑπὲρ νάρδον Σπυρίδων, σοῦ θεσπέσιε εὐοδιάζει· Ἄγγελοι γὰρ πρὸς αὐτὸ ὑπουργοῦσι, τί οὖν ὡς νεκρὸν τὸν ζῶντα νομίζομεν; οὐ νεκρὸς γὰρ, ἀλλὰ ζῶν ἡμῖν δείκνυται. Δόξα

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν ἄχρονον Λόγον, ἐξ αὐτοῦ γεννηθέντα, καὶ παράκλητον Θεῖον ἐκ Πατρὸς προελθόντα, καὶ σὺν τοῖς Ἀγγέλοις βοήσωμεν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε. Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην γαστρί σου, Ἀειπάρθενε κόρη, τὸν Υἱὸν καὶ Θεόν σου συλλαβοῦσα ἀφράστως, καὶ κυήσασα μόνη, ῥεύσαντας ἡμᾶς ἴθυνον πρὸς τὴν ζωὴν, μεσιτείαις ταῖς σαῖς πρὸς Θεὸν καὶ ἄνθρωπον.
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεός.

Τέλος καὶ τῷ Θεῷ Δόξα.

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Ὑπέρ τοῦ ἐν Κερκύρᾳ γεγονότος ὑπερφυοῦς Θαύματος κατὰ τῶν, Ἀγαρηνῶν τῇ ιά. τοῦ αὐγούστου Μηνὸς, κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν δέκατον ἕκτον ἔτος ἀπὸ Χριστοῦ.

Τῷ ἀναγινώσκοντι.

Τῶν εἰς τύπον φέρειν τί σπουδασάντων, δυοῖν θάτερον, ἢ τὸν γράψαντα, ἢ τὸ γραφόμενον εὐφημεῖσθαι ἀνάγκη. Αὐτὸς δὲ διὰ τὸ ἄτερπνον τῆς ποιήσεως, καὶ τὸ τοῦ λόγου ἀσύνδετον, οὐδετέρου τούτων ἀντάξιον ἐμαυτὸν ἡγησάμην· εὐλαβείας γὰρ χάριν, καὶ οὕτινος ἐξωτέρου φρονήματος, τοῦ πονήματος τούτου καθάψαι ἐπεμελήθην. Εἰδ' οὖν δοκοῖ τῷ Ἀναγινώσκοντι προσαρμόσαι τινὰ τῷ ποιήματι ἔπαινον, τοῦτο ἐκ τῆς τοῦ περιγραφομένου θαύματος μεγολοπρεπείας λογιζέσθω· καὶ γὰρ τῆς τοῦ Αὐγούστου εἰκόνος ἐν μικρῷ διαγραφείσης κρυσταλλω, ὑπὸ Ῥώμης πάσης ὁ κρύσταλλος καὶ αὐτοῦ τοῦ χρυσίου ἐλογίσθη σεμνότερον. Εἰδέ τι πλημμέλημα ἐν τῷ ῥυθμῷ τῆς ποιήσεως εὑρεθείη, ἐχέτω συγγνώμην· τοῦτο δὲ μόνον προσεκτέον, τὸ μετὰ πάσης εὐλαβείας τὴν Ἀκολουθίαν ἀναγινώσκειν.

Ἐρρῶσο.

ΤΗι ΙΑ'. ΤΟΥ ΑΥΓΟΥΣΤΟΥ ΜΗΝΟΣ.

ΑΝΑΜΝΗΣΙΣ

ΤΟΥ ΕΝ ΚΕΡΚΥΡΑι

ΚΑΤ ΑΓΑΡΗΝΩΝ

ΘΑΥΜΑΤΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Ἑσπέρας ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν.
τὸ, ά. Ἀντίφωνον, τὸ, Μακάριος ἀνὴρ.
Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς',
καὶ ψάλλομεν τὰ παρόντα Προσόμοια.
Ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀγαθῶν τὸ ἀκρότατον, σὺ Σπυρίδων ἐπέγνωκας, ὃ καὶ κέντρον εἴληφας ἀξιάγαστε, ἀρθεὶς πυρὶ τῷ τοῦ Πνεύματος, ἐξ οὗ καὶ τῆς χάριτος, ἠξιώθης ὑπὲρ νοῦν· ἀλλ' ἐν γῇ τὸ ἀείζωον, Σῶμα ἔδωκας, ἐν τῇ πόλει Κερκύρας ὃ διώκει, ὁρατῶν καὶ ἀοράτων, ἐχθρῶν παντοίων συστήματα.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΚΑΙ ΤΕΧΝΟΛΟΓΙΑΣ ΠΟΛΙΤΙΣΜΟΥ ΕΚΔΟΤΗΣ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κερκυραίων τὸ καύχημα, σὲ Σπυρίδων γινώσκομεν, ἀσθενῶν παράκλησιν πνευματέμφορε, καὶ τῶν θαυμάτων πολύρρυτον, πηγὴν χαριτόβρυτον, νοσημάτων ἰατρὸν, τῶν ψυχῶν ἐπανόρθωσιν, καὶ στερέωμα· ἀσεβῶν καὶ βαρβάρων καταλύτην, τῶν τὴν πόλιν σου φρονούντων, πολιορκεῖν ἀξιάγαστε.

Νοερῶς ἀπεδίωξας, Στόλον πάμπολυν Ἅγιε, Ἰσμαὴλ σὺν ἅπασι τοῖς στρατεύμασι, καὶ τοὺς δοκοῦντας αἰχμάλωτον, τὴν πόλιν σου πάνσοφε, σὺν τῇ ποίμνῃ σου λαβεῖν· καὶ ἐθραύσθησαν ἄθλιοι αἰσχυνόμενοι, σὺν τοῖς ἅρμασιν, ἵπποι, ἀναβάται, καὶ ἐρρύσω ἐκ πολέμου, τοὺς σοὺς οἰκέτας πανόλβιε.

Δόξα Ἦχος Πλ. δ'.

Πῶς οὐκ ἔδει σε Ἱεράρχα ἀοίδιμε, σῶσαι ἡμᾶς ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιδρομῆς, ρυσάμενον ποτὲ ἐκ τῆς τοῦ λιμοῦ περιστάσεως; σὺ ὁ τυφλὸν ὀμματώσας, τυφλοὺς τοὺς βαρβάρους ἐδίωξας· σὺ ὁ νεκρὰν ἐξεγείρας, θανόντας τοὺς Αἰθίοπας ἔδειξας· καὶ ὁ τὸν ὄφιν εἰς χρυσοῦν μετουσιώσας, τὴν ἡμῶν καρδίαν ταραττομένην εἰς χαρὰν μετέβαλες. Σπυρίδων πατὴρ ἡμῶν, μὴ παύσῃ φυλάττειν πάσης ἀντικειμένης προσβολῆς τὴν πόλιν σου ἄτρωτον.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, Τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας,

καὶ τὰ Ἀναγνώσματα

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Εἶπε Μωσῆς τῷ Ἰησοῦ· ἐπίλεξον σεαυτῷ ἄνδρας δυνατοὺς, καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ αὔριον· καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ Θεοῦ ἐν τῇ χειρί μου· καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ Μωϋσῆς, καὶ ἐξελθὼν παρετάξατο τὸν Ἀμαλήκ· καὶ Μωϋσῆς, καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ· καὶ ἐγένετο ὅταν ἐπῆρε Μωϋσῆς τὰς χεῖρας αὐτοῦ, κατίσχυεν Ἰσραήλ· ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ· αἱ δὲ χεῖρες Μωϋσῆ βαρεῖαι· καὶ λαβόντες λίθον ὑπέθηκαν ὑπ' αὐτὸν· καὶ ἐκάθητο ἐπ' αὐτοῦ· καὶ Ἀαρὼν καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν εἷς· καὶ ἐγένοντο αἱ χεῖρες Μωϋσέως ἐστηριγμέναι ἕως δυσμῶν Ἡλίου, καὶ ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλὴκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· κατάγραψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ· καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν Οὐρανόν· καὶ ᾠκοδόμησε Μωϋσῆς θυσιαστήριον τῷ Κυρίῳ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, Κύριός μου καταφυγή· ὅτι ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἐξ Ἱερουσαλὴμ ἐξελεύσονται οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα· διὰ τοῦτο οὕτω λέγει Κύριος ἐπὶ Βασιλέα Ἀσσυρίων· οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεόν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα, ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλ-

Θεν, ἐν αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ. Τάδε λέγει Κύριος· ὑπερασπιῶ ὑπέρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παιδά μου· καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, καὶ ἀναστάντες τῷ πρωΐ, εὗρον πάντα τὰ σώματα νεκρά· καὶ ἀπῆλθεν ἀποστραφεὶς, καὶ ἀπέστρεψε Σεναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευΐ· καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ Θεοῦ αὐτοῦ, Ἀδραμέλεχ, καὶ Σαρασὰρ οἱ Υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις, αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ Υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Σοφία Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν

ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν, Ἰδιόμ. Ἦχος β'.

Ταῖς ἀρεταῖς διαπρέψας, Σπυρίδων πανένδοξε ἐν βίῳ οὐρανίων ἐφρόνεις, τῶν φθαρτῶν καὶ γεηρῶν ἀμελήσας, Ἀρχιερωσύνης τὸ στέφος ἀναλαβών, γενναιοτάτως ὑπὲρ τοῦ σοῦ ἐνήθλησας ποιμνίου, μὴ τῆς ψυχῆς σου φεισάμενος ὑπὲρ τῶν σῶν προβάτων ἀείμνηστε.

Ὁ αὐτός.

Ἀρχιερέων καλλονὴ, σῶμα σὸν τὸ ζωηφόρον Κερκύρα ἐκτήσατο· καὶ αὕτη σοι χαίρει τὰς ἰάσεις λαμβάνουσα, καὶ τὰ παράδοξα τῶν θαυμάτων κηρύττουσα· ὡς ἀνδρικὸς γὰρ ἀντέστης τῷ ἐχθρῷ τῆς εὐσεβείας ἀήττητε.

Ὁ αὐτός.

Τὰς ἀρετὰς ἐποιήσω τρισόλβιε, βαθμοὺς πρὸς λῆξιν οὐράνιον. Χριστὸς δέ σε μάκαρ τῷ τῆς Ἀρχιερωσύνης θρόνῳ ἀνεβίβασε, Τριμυθοῦντος Ποιμένα ἀξίως δεικνύων σε· νῦν δὲ τὸ σὸν ζωοπάροχον σκῆνος, θεόσδοτον δῶρον ἡ Κερκύρα θαυμάζεται, καὶ ἐν τοῖς ὑπερφυέσι θαύμασι καθ' ἑκάστην ἀγάλλεται, ὕμνους, σοὶ τῷ λυτρωτῇ ἡμῶν παννυχίους ἐκπέμπουσα.

Δόξα Ἦχος δ'.

Τίς σοι κατ' ἀξίαν τοὺς αἴνους προσφέρει, Σπυρίδων θαυμάσιε; ἢ τίς τῶν Θαυμάτων σου σεμνῶς διηγήσεται; ἔπρεψας ἐν τῷ βίῳ ἀγγελικῶς ἐκβιώσας· ἄγρυπνος μετὰ πότμον τοὺς πιστοὺς περισκέπεις· χαίρει Νίκαια τροπαιοῦχον αἱρετικῶν σε δοξάζουσα· χαίρει Κερκύρα ὀλετῆρα Ἰσμαηλιτῶνσε γνωρίζουσα· τίς γὰρ ἀόπλοις χερσὶν ἀπώσατο τοὺς βαρβάρους; Σπυρίδων ὁ τῆς νήσου φρουρὸς, καὶ τοῦ Χριστοῦ Ἱεράρχης γνήσιος· ᾧ καὶ πρεσβεύει δωρηθῆναι τῇ τῶν πιστῶν πολιτείᾳ εἰρήνην καὶ ἔλεος.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχ. Στιχηρὰ Προσόμοια. Ἦχος α'.

Τῶν οὐρανίων τάγμάτων.

Ἐν ταῖς τοῦ Πνεύματος Θείας, λελαμπρυσμένος αὐγαῖς, σαφῶς ἀνακηρύττεις, τῶν θαυμάτων τὰ ξένα, τὴν δύναμιν τοῦ λόγου διατρανῶν, ἐν τοῖς ἔθνεσι σήμερον, τοὺς ἐν βυθῷ ἀσεβείας ἀποσοβῶν, περισκέπεις τὸ σὸν ποίμνιον.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Σὺ τοῖς τοῦ Πνεύματος ὅπλοις, ὑπερμαχήσας Σοφὲ, ἀπεδιώξω Ἄγαρ, τοὺς υἱοὺς τοὺς αὐθάδεις· θεῖον δὲ στρατιώτην καὶ στερεὸν, τῆς Κερκύρας ἀδάμαντα, καὶ Θεοκήρυκα ἅμα τῶν τοῦ Χριστοῦ, Θαυμασίων σε δοξάζομεν.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.

Χαρίτων Πάτερ ἀῤῥήτων, γέγονας ἔμπλεως· σοῦ γὰρ τὸ θεῖον Σκῆνος, ἐπιχέει χειμάῤῥους, Μάκαρ παραδόξως τὰ τῶν ἐχθρῶν, καταπίνων συστήματα· τῶν δὲ πιστῶν τὰς καρδίας φωταγωγεῖ, ταῖς ἐμπνεύσεσι τῆς χάριτος.

Δόξα Ἦχος Πλ. δ'.

Τὴν Πνευματικὴν ὁπλισάμενος μάχαιραν ὁ μέγας τῶν Κερκυραίων στρατηγὸς, τῶν τῆς Ἄγαρ παίδων τὸ κράτος διέλυσε, καὶ τὸν πιστὸν λαὸν ὡς ποιμὴν ἀληθινὸς διεσώσατο· διὸ καὶ νικητὴν ἀνέδειξε τροπαιοῦχον, εἰς πᾶσαν τὴν Οἰκουμένην διαδραμὼν ὁ φθόγγος τοῦ Θαύματος· ὑπὸ δὲ πάντων δεχόμενος τὰ βραβεῖα, ἐν ὕμνοις καθ' ἑκάστην γεραίρεται, πρεσβεύων ἀπαύστως ὑπὲρ πᾶς Ποίμνης αὐτοῦ ὁ θαυμάσιος.

Καὶ νῦν. τῆς Ἑορτῆς. Τροπάριον. Ἦχος δ'.

Ὡς τῶν Ὀρθοδόξων ὑπέρμαχον, καὶ πάντων τῶν ἀπίστων ἀντίπαλον, παμμακάριστε Σπυρίδων ὑμνοῦμέν σε, καὶ δυσωποῦμέν σε, φυλάττειν τὴν πόλιν σου, πάσης ὁρμῆς βαρβάρων ἀμέτοχον.

Καὶ τῆς Ἑορτῆς.

Ἐν τῷ Ὄρθρῳ, μετὰ τὸ, Θεὸς Κύριος,

Τὸ Τροπάριον τοῦ Ἁγίου, καὶ τῆς Ἑορτῆς.

Μετὰ δὲ τὴν ά. Στιχολογίαν, Κάθισμα, Ἦχος ά.

Τὸν Τάφον σου Σωτήρ.

Ὡς φοῖνιξ ἀληθῶς, σὺ ὑπάρχεις τρισμάκαρ, τῶν χρόνων τῷ πυρὶ, μὴ βλαφθεὶς θαυμασίως, ὡς κέδρος δὲ διήνθησας, ἐν Κερκύρᾳ μακάριε, τοῖς σοῖς θαύμασι, ψυχὴν ἡμῶν περισκέπτων· ὁ νεκρῶσαν μὲν, ἔμπνουν ζωῇ προσενέγκας, Σπυρίδων ἀείμνηστε.

ΕΚΔΟΣΕΙΣ ΠΑΠΑΔΗΜΗΤΡΑΚΟΥ ΠΑΝΑΓΙΩΤΟΠΟΥΛΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΩΡΕΣ ΠΑΠΑΣΤΑΜΑΤΗΣ

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα. Ὅμοιον.

Δοχεῖον καθαρὸν τῆς τοῦ Πνεύματος αἰγλης, Παμμάκαρ ἀληθῶς, ἀνεδείχθης καὶ πᾶσαν, τῶν ἐχθρῶν τὴν ὠμότητα, ὁρατῶν τε κατέθρυσας· ὅθεν ἅπαντας, τοὺς τῶν θαυμάτων τὴν μνήμην, ἐκτελοῦντάς σου, πάσης ἐχθρῶν ἐπηρείας, σῶζε πανθαύμαστε.

Δόξα Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἑορτάσωμεν φαιδρῶς, Θεῖον Ποιμένα καὶ σεπτόν· ἄγει γὰρ σήμερον χαρὰν, τῶν ὀρθοδόξων ὁ χορὸς, ἀπαλλαχθεὶς παραδόξως ἐκ τῶν κινδύνων· ἀγάλλεται λαμπρῶς, πόλις Κερκύρας καὶ σκιρτᾷ, κομπάζουσα σεμνῶς, τοῦ Ἱεράρχου ταῖς λιταῖς, καὶ προσιόντες χαίρουσι, καμάτων καὶ νοσημάτων, καὶ συμφορῶν, λάρνακι θείᾳ, ἐκδυσωποῦντες, ἐκ τῶν θαυμάτων τὴν λύτρωσιν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί. τὸ α'. Ἀντίφωνον τοῦ δ'. Ἦχου.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου. Στίχ. Τί ἀνταποδώσομεν.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον εἰς Ἱεράρχην· καὶ ὁ Ν'.

Δόξα Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Ἐλέησόν με ὁ Θεὸς.

Καὶ τὸ παρὸν Ἰδιόμελον, Ἦχος Πλ. ά.

Θησαυρὸν ἀσύλητον ἔδωκας ἡμῖν Σπυρίδων μακάριε, καὶ δῶρον ἔνθεον σῶμα σὸν ζωηφόρον· θαύματα βρύει ἑκάστοτε, τοῖς πίστει τῷ ναῷ σου προστρέχουσι, καὶ τὰς νόσους διώκον ψυχῶν καὶ σωμάτων, τοῖς ὀρθοδόξοις παρέχει παντοῖα δωρήματα. Χριστὸν τὸν Θεὸν ἱκέτευε Πατὴρ ἡμῶν, ἡμῖν τοῖς ἅμετρα πταίουσιν, ἱλασμὸν δοῦναι καὶ ἄφεσιν.

Εἶτα οἱ Κανόνες. τῆς Ἑορτῆς, Καὶ τοῦ Ἁγίου.

Ὠδὴ ά. Ἦχος β'.

Δεῦτε λαοί.

Σὲ τὴν ἡμῶν, ἀκαταμάχητον δύναμιν, καθικετεύω Πάνσοφε, τὴν μολυνθεῖσάν μου πονηραῖς διανοίαις, ἀπόσμιξον καρδίαν, ὅπως ὑμνήσω σε.

Πάντες πιστοὶ, σὲ βοηθὸν ἀπροσμάχητον, καὶ προστάτην κεκτήμεθα, καὶ φρουρὰν ἄμαχον, καὶ πρέσβυν Σπυρίδων θερμότατον· ὅθεν σὲ ἀξίως γεραίρομεν.

Θαῦμα τὸ σὸν, ἡ Κερκύρα τεθαύμασται, Ἰσμαηλίτην βλέπουσα, ὡς ψάμμον παράλιον, κακῶς δὲ ἀπολελυμένον, τῷ ξίφει τῆς πρεσβείας σου ἀξιάγαστε.

Θεοτοκίον.

Μόνη Θεὸν, πᾶσι τὸν ὄντα ἀχώρητον, σοὶ χωρητὸν γενόμενον, δι' ἀγαθότητα, ἀπεκύησας Κόρη, ὃν αἴτησαι σωθῆναι, τοὺς ἐν πίστει καὶ πόθῳ ἀνυμνοῦντας σε.

Καταβασία.

Σταυρὸν χαράξας.

Ὠδὴ γ'.

Ἐν πέτρᾳ με.

Θηρὸς ὁ καὶ τὴν φύσιν μεταποιήσας, πενίας τὸν αἰτοῦντα θέλων λυτρῶσαι, θηρία τὰ τῆς Ἄγαρ νῦν ἀπε-

ΔΗΜΟΣΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΡΚΥΡΑΣ ΓΕΩΡΓΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

κρούσω· αἰχμαλωσίας δὲ, καὶ πικροῦ θανάτου, τοὺς σὲ προσκαλουμένους διέσωσας.

Ἐν πόντῳ σὲ γινώσκομεν εὐεργέτην, τοῖς Θαύμασι τοῖς σοῖς ἀφορῶντες· τὰ φῦλα δ' ἀπιστήσαντα τῶν βαρβάρων, καταισχυνόμενα ἔφυγον· ἡμεῖς δέ σε Πάτερ σωτῆρα κηρύττομεν.

Πηλὸν ἀποσφίγξας τῇ δεξιᾷ σου, τοῦ πλάσαντος τὸν ἄνθρωπον ἐπενόεις, τριμόρφου ἀγλαΐας τὸ ἐνιαῖον, Σύνοδος δὲ Θεὸν τὸν Υἱὸν, καὶ οὐ κτίσμα τοῖς ὀρθοδόξοις ἐκήρυξε.

Θεοτοκίον.

Τὰ πάθη τῶν ψυχῶν ἡμῶν καὶ σωμάτων, ἰάτρευσον Πανύμνητε καὶ βαδίζειν, τὰς τρίβους κατεύθυνον τὰς φερούσας, πρὸς τὴν ἀπόλαυσιν, καὶ τρυφὴν τὴν ἄρρευστον καὶ ἀνώλεθρον.

Καταβασία.
Ῥάβδος εἰς τύπον,
Κάθισμα. Ἦχος γ'.
Θείας πίστεως.

Λύχνον ἄσβεστον ἡ Ἐκκλησία, λίθον τίμιον τῶν Κερκυραίων, πόλις παμμάκαρ Σπυρίδων ἐδέξατο· καὶ διαυγάσας Ἡλίου λαμπρότερον, τὰ τῶν ἀπίστων ἀπήμβλυνας ὄμματα, ἀξιάγαστε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ θεῖον ἔλεος.

Δόξα Τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.
Ὠδὴ, δ'.
Ἐλήλυθας.

Σκιρτήσατε, τῶν πιστῶν οἱ χοροὶ, καὶ βοήσατε, γῆ μὲν καὶ οὐρανοὶ εὐφραινέσθωσαν· Σκῆνος γὰρ τὸ

ἅγιον, τοῦ Ἱεράρχου χαρίζεται, τοῖς προστρέχουσι πίστει, φωτισμὸν καὶ ἀντίληψιν.

Ὁ Ἀβραὰμ, λειτουργὸς τῶν Ἀγγέλων λελόγισται, ἀλλὰ σὺ Θαυμάσιε, τοὺς Ἀγγέλους λειτουργοὺς ἔσχες ἐν λιταῖς καὶ ὁμοσκήνους· διὸ καὶ τῶν Ἀγγέλων ὁμοδίαιτος γέγονας πάνσοφε.

Οὐκ εὐδοκεῖ, ἐν τῇ δυνάμει ἵππου καὶ ἄρχοντος, Θαυμαστὸς δὲ ὁ Κύριος τῶν στρατευμάτων, ἐπὶ τοὺς φοβουμένους αὐτοῦ τὸ ὄνομα· διὸ καὶ ἔσωσεν ἐν σοὶ τὴν ποίμνην σου Ἅγιε.

Θεοτοκίον.

Ἐλέησον, ἐλεήμονος Λόγου λοχεύτρια, τὸν ἀνελεήμονα καὶ τοῦ ἐλέους ἀνάξιον, ἐμαυτὸν πριήσαντα, ὡς τὰς ἐντολὰς τοῦ Δεσπότου ἁπάσας ἀμελήσαντα.

Καταβασία.
Εἰσακήκοα Κύριε.
Ὠδὴ, ε'.
Ὁ φωτισμός.

Ὁ Μωϋσῆς, ἀνορθούμενος χεῖρας ἐπὶ τῷ ὕψει, παντοστρατὶ τὸν Ἀμαλὴκ ἀνετρόπωσεν· αὐτὸς δὲ τῷ ἰδίῳ βραχίονι, πλῆθος Ἰσμαὴλ κατηδάφισας, καὶ τὸν σὸν λαὸν Σπυρίδων διέσωσας.

Ὁ Ἰσραὴλ, τὴν ἐρυθρὰν ἀβρόχως διέβηκε· ποταμοῦ δὲ νάματα σὺ ἀπεξήρανας, τῇ προσευχῇ σου, ὄρους ὑπερβαίνοντα φύσεως· ὅθεν διέβραμες, ἀνίκμοις τοῖς ποσὶ πολυθαύμαστε.

Θαυματουργῶν, κατήγαγες ὄμβρους εἰς ξηρασίαν

τὴν στειρωθεῖσαν γῆν καρποφόρον ἀναδεικνύων· τὴν ψυχήν μου νῦν διψῶσαν ἀνάψυξον, τῇ δρόσῳ τῆς χάριτος, καὶ ἀειθαλῆ τῶν ἀρετῶν λειμῶνα ἀνάδειξον.

Θεοτοκίον.

μα ἀπὸ τὴν ἀναίμακτον Θυσίαν· καταδεχθῆτε νὰ βαπτίζεσθε εἰς τρεῖς καταδύσεις, διὰ νὰ μὴ μένητε ἀβάπτιστοι μὲ μόνον τὸ σατανικὸν ῥάντισμα· μὴ θέλετε νὰ ἀρκῆσθε εἰς μόνα τὰ κυριακὰ λόγια, εἰς τὴν μετουσίωσιν τῶν μυστηρίων, διὰ νὰ μὴ γίνεσθε ἀρτολάτραι, χωρὶς τὴν ἐπίκλησιν τοῦ θείου Πνεύματος· μὴν ἀποστερῆτε ἀδικώτατα καὶ ἀπανθρωπότατα τοὺς λαϊκοὺς χριστιανοὺς ἀπὸ τὸ ποτήριον τῆς ζωῆς, ἀντινομοθετοῦντες τῷ δεσπότῃ Χριστῷ, ἀποσιωπήσατε τὸν μῦθον τοῦ καθαρτηρίου πυρός· μὴ καταχαρίζηται εἰς τὴν μητέρα τοῦ Θεοῦ, ἐκεῖνο ὁποῦ δὲν τῆς προξενεῖ ἔπαινον, καὶ εἰς τὴν Γραφὴν εἶναι ἐναντιώτατον, ἤγουν τὸ ἀπὸ συλλήψεως ἀμέτοχον τοῦ προγονικοῦ μυάσματος· ἂς ταπεινωθῇ καὶ ὁ ἰσόθεος Πάπας, καὶ ἂς ὁμολογήσῃ εὐγνωμόνως, πῶς εἶναι Ἐπίσκοπος τῆς Ῥώμης, ἀλλ' ὄχι ποτὲ καὶ τῆς καθόλου Ἐκκλησίας κεφαλή. Τῶν οἰκουμενικῶν συνόδων, ὄχι κριτὴς καὶ ὑπὲρ, ἀλλὰ καὶ ὑπεύθυνος καὶ ὑποκείμενος. Ταύτην τὴν καλλίστην καὶ θαρεστωτάτην μετάνοιαν νὰ κάμεται, σᾶς κράζει καὶ σᾶς παρακινεῖ, τοῦτο τὸ ὑπερφυὲς καὶ ἐξαίσιον ἔργον τοῦ ἱεράρχου Σπυρίδωνος· τοῦτο ἀποφασίζει ψεύστας καὶ ἀπατεῶνας, ὅλους ἐκείνους ὁποῦ δοξάζετε ὡς ἁγίους καὶ ὑπεραγίους, μὲ τὸ νὰ ἔγραψαν πικρότατα ἐναντίον τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἢ νὰ εἰπῶ καλλίτερα ἐναντίον τοῦ ἁγίου Πνεύματος, ὅ,τι λογῆς μάλιστα ἀνάμεσα εἰς ὅλους τοὺς ἄλλους, οἱ πλέον πικρότεροι ἐστάθησαν, ὁ συκοφάντης Βοναβεντούρας καὶ ὁ σοφιστὴς Θωμᾶς· ἀπὸ τοὺς ὁποίους σεῖς ψευδονομάζεται τὸν ἕνα Σεραφικὸν, καὶ τὸν ἄλλον ἀγγελικόν· λοιπὸν σήμερον θέλετε τοὺς γνωρίσει, πῶς εἶναι μάλιστα σατανικοὶ, διαβολικοὶ, ψεῦσται καὶ ἀπατεῶνες, ἐχθροὶ τῆς ἀληθείας, προστάται τοῦ ψεύδους, καὶ ἀπὸ ὅλας τὰς ἁγίας καὶ οἰκουμενικὰς συνόδους ἀναθεματισμένοι, καὶ ὕλη τοῦ αἰωνίου πυρός. Καὶ ἀληθινὰ χριστιανοὶ, δὲν ἦτον ἀκόλουθον τοῦτο νὰ γένῃ; ἤγουν δὲν ἔπρεπε νὰ αἰσθανθοῦν οἱ Λατῖνοι; δὲν ἔπρεπε νὰ ἐξυπνήσουν; δὲν ἔπρεπε νὰ συλλάβουν ἕνα φόβον σωτήριον, βλέποντες καὶ ἀκούοντες τὴν πραγματικὴν ταύτην ἀπόφασιν τοῦ Οὐρανοῦ, στοχαζόμενοι, πῶς καθὼς τώρα εὑρίσκονται εἶναι ἀπόβλητοι, ἀποδεδοκιμασμένοι, καὶ ἀλλότριοι τοῦ Θεοῦ, καὶ τῶν ἁγίων; ναὶ βεβαιότατα, κατὰ πᾶσαν ἀνάγκην οὕτως ἔπρεπεν νὰ κάμουν· μὰ ἀλλοίμονον· αὐτοὶ μάλιστα ἐφάνηκαν ἀναίσθητοι εἰς τὴν Οὐράνιον ἐκείνην βροντήν· αὐτοὶ ἠθέλησαν καλλήτερα νὰ μιμηθοῦν τὴν σκληρότητα τοῦ θεηλάτου Φαραὼ· ἠθέλησαν προτιμότερον νὰ φανοῦν ὀπαδοὶ τῶν ἀπειθῶν καὶ σκληροτραχήλων Γραμματέων καὶ Φαρισαίων, οἱ ὁποῖοι βλέποντες τὰναντίῤῥητα θαύματα τοῦ Ἰησοῦ, ὄχι μόνον δὲν ἐπίστευον εἰς αὐτὸν, ἀλλὰ καὶ μὲ κάθε τρόπον ἐσπούδαζον νὰ τὰ συκοφαντήσουν ὡς πλάσματα· καὶ ἀφίνω νὰ λέγω τοὺς μακρὰν, ὁποῦ ἢ δὲν ἤκουσαν ὁλότελα ἕνα τοιοῦτον τεράστιον, ἢ τὸ ἤκουσαν, ἀλλ' ὄχι καὶ μὲ ὅλα ἐκεῖνα τὰ περιστατικὰ, τὰ ὁποῖα καὶ φοβερὸν τὸ παραστήνουσι, καὶ ἄξιον διὰ νὰ κάμῃ τοιαύτην ἐνέργειαν· λέγω διὰ ἐκείνους ὁποῦ εὑρέθησαν μέσα εἰς ἐκείνους τοὺς ἀνεικούστους φόβους, ὁποῦ καὶ μὲ τοὺς ὀφθαλμούς των εἶδον τὰ φρικτὰ ἐκεῖνα καὶ ἐξαίσια πράγματα, καὶ μὲ τὰ ὦτά του ἤκουον

τοῦ καλοῦ στρατιώτου τὸ κήρυγμα, καὶ αὐτοὶ οἱ ἴδιοι μετέθεσαν τὴν ὕλην, διὰ νὰ μὴ πάθωσι καὶ αὐτοὶ τὰ ὅμοια, ἢ καὶ χείρονα, διὰ τοὺς τοιούτους κυρίως λέγω, καὶ τούτους τελανίζω, ὁποῦ ἠθέλησαν προτιμότερον νὰ τὸ περάσουν διὰ ἕνα ψηλὸν συμβεβηκὸς, παρὰ νὰ στοχασθοῦν, πῶς ἦτον, καθὼς καὶ τῇ ἀληθείᾳ ἦτο, μία ἀκαταφρόντητος ἀπόφασις τοῦ Οὐρανοῦ, ὅτι οἱ Λατῖνοι εἶναι ἀπόβλητοι; τούτους, τούτους ἐγὼ κλαίω, τούτους τελανίζω, τούτους καὶ ὁ προφήτης Ἡσαΐας σημειώνει ὡς πάντῃ ἀναισθήτους, λέγων «Ἔδωκεν αὐτοῖς ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ὅπως μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῖς ὠσὶν αὐτῶν ἀκούσωσι, καὶ συνῶσι, καὶ ἐπιστραφῶσι, καὶ ἰάσομαι αὐτούς.» ἰδοὺ μὲ ποίους ὡμοίασαν, οἱ ἀκόλουθοι τῆς Δυτικῆς ἐκκλησίας, καὶ μὲ ποίους εἶναι ὅμοιοι· ὄχι τάχα, πῶς ὁ μόνος φιλάνθρωπος Κύριος, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι, δὲν θέλει τῶν τοιούτων τὴν σωτηρίαν, ἀλλὰ θέλει νὰ φανερώσῃ μὲ αὐτὰ, πῶς ἔπεσαν εἰς τὸ κακὸν, πῶς ἐπωρώθη ἡ ἀσύνετος αὐτῶν καρδία, πῶς ἡ ἐπάρατος αὐτῶν οἴησις καὶ δοκοφροσύνη, ἀποδιώκει κάθε ἀγαθὸν λογισμόν· δὲν δίδει κἀμμίαν εἰς τὴν χάριν τοῦ Θεοῦ· καὶ διὰ τοῦτο οὔτε νὰ αἰσθανθῶσι δύνανται, οὔτε νὰ ἐπιστρέψωσιν εἰς τὴν ἀλήθειαν, καὶ νὰ εὕρωσι σωτηρίαν αἰώνιον· λοιπὸν, τί ἀκολουθεῖ; τοῦτο βεβαιότατα ἀκολουθεῖ· ὅτι ὕστερα ἀπὸ τὴν κρίσιν τοῦ Οὐρανοῦ, οὔτε φιλονεικίας ἔχουσι πλέον τόπον, οὔτε ἀμφιβολία κἀμμία ἠμπορεῖ νὰ μένῃ πλέον περὶ τῶν Λατίνων· ὁμολογουμένως, ἀναμφιβόλως, ἀναντιῤῥήτως οἱ Λατῖνοι εἶναι ἀδόκιμοι, ἀπόβλητοι, ἐχθροὶ καὶ ἀλλότριοι τοῦ Θεοῦ καὶ τῶν Ἁγίων αὐτοῦ, τὴν ἐλάττονα τοῦ συλογισμοῦ ἀποδεικνύει ὁ δαυλὸς ὁ ἀναμμένος τοῦ Σπυρίδωνος.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐπίλογος, τὰ αἴνεσιν ἔχων πρὸς τοὺς Ὁμογενεῖς.

Τὸ θαῦμα λοιπὸν ἐκεῖνο τοῦ θείου Σπυρίδωνος, ἐστάθη μία πραγματικὴ Κρίσις τοῦ οὐρανοῦ, μὲ τὴν ὁποίαν καὶ αἰσθητῶς καὶ νοητῶς ἀπέβαλε καὶ ἀπέκοψεν, ὡς σεσαπημένην καὶ βρωμερὰν ἀπὸ τὸν μιαρὸν παπισμὸν, τὴν Δυτικὴν ἐκλλησίαν ἀπὸ τὴν πνευματικὴν ὁλομέλειαν τῆς μιᾶς, ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας· ἀπεδείχθη τοῦτο λαμπρότατα, ἀγκαλὰ καὶ νὰ μὴν αἰσθάνωνται οἱ δείλαιοι, ἀλλὰ μένουσιν ἴσα μὲ τὸν ἑωσφόρον, ἀμετανόητοι καὶ ἀδιόρθωτοι· πρᾶγμα κατὰ ἀλήθειαν ὄντως ἀξιοθρήνητον· ἡ παντοδύναμος χάρις τοῦ Ἰησοῦ Χριστοῦ νὰ τοὺς φέρῃ εἰς αἴσθησιν· καιρὸς δὲ εἶναι τώρα νὰ στρέψω τὸν λόγο, εἰς ὑμᾶς τοὺς ἀδελφούς μου· καὶ μάλιστα εἰς σᾶς τοὺς ἀδελφούς μου ὀρθοδόξους, οἱ ὁποῖοι εὑρίσκεσθε διεσπαρμένοι εἰς διαφόρους πόλεις καὶ τόπους τῆς Εὐρώπης· τῆς Εὐρώπης αὐτῆς εἰς τὴν ὁποίαν μάλιστα τὴν σήμερον πλημμυρεῖ ἡ ἀθεοτάτη ἀδιαφορία τῶν θεοστυγῶν θεϊστῶν· σεις λοιπὸν, ἀγαπητοὶ, ἀφ' οὗ μὲ τὰ θαυ-

μάσια καὶ ἐξαίσια ἔργα τοῦ θείου Σπυρίδωνος εὐκόλως καταισχύνηται τοὺς ἀναισχύντους παπιστὰς, αὐτὰ τὰ ἴδια ὡς φανερὰ, ὡς ὁμολογούμενα, ὡς ἀκαταμάχητα ὅπλα, σᾶς συμβουλεύω, ἀδελφοὶ, νὰ κρατῆτε καὶ ἐναντίον τῶν ἀθέων θεϊστῶν, διὰ νὰ μὴ δίδεται προσοχὴν εἰς ἐκείνας τὰς ἀπωλεσμένας ψυχὰς, ἀλλὰ μὲ ὅλας σας τὰς δυνάμεις νὰ βαστᾶτε τὴν πίστιν τοῦ Χριστοῦ· τὴν πίστιν ἐκείνην λέγω, ὁποῦ ἐνίκησε τὸν Κόσμον, ὁποῦ ἡμέρωσε τοὺς λέοντας, ὁποῦ ἔκαμε τοὺς λύκους ἄρνας, ὁποῦ ἔβαλεν ὑποκάτω εἰς τὸν ἐδικόν της ζυγὸν τοὺς αὐχένας τῶν Αὐτοκρατόρων· τὴν πίστιν ἐκείνην, ὁποῦ ἐξώρισεν ἀπὸ τὴν οἰκουμένην τὴν εἰδωλολατρίαν, ὁποῦ ἐμώρανε τὴν σοφίαν τοῦ Κόσμου, ὅπου ἀνέδειξεν ὡς ἰχθῦας ἀφώνους τοὺς πολυῤῥόγγους ῥήτορας· ὁποῦ ἐφύτευσεν εἰς τὸν Κόσμον τὴν γνῶσιν τῆς μιᾶς τρισυποστάτου Θεότητος· τὴν πίστιν ἐκείνην ὁποῦ ἐδίδαξε τοὺς ἀνθρώπους τὴν πρὸς ἀλλήλους τελείαν Ἀγάπην, τὴν ἀληθινὴν ἀρετὴν, ἤγουν τὴν ἀληθινὴν σωφροσύνην, τὴν κατὰ Χριστὸν ταπείνωσιν, τὴν ἀκριβεστάτην δικαιοσύνην, τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς· ὦ πίστις θειοτάτη! ὦ πίστις ἁγιωτάτη! ὦ πίστις ὑπὲρ τὸν ἥλιον λάμπουσα! πῶς ἔτσι εἰς τὴν σταθερὰν μεσημβρίαν σου, ἐσκοτίσθηκαν καὶ σκοτίζονται οἱ παράφρονες θεϊσταὶ, κατὰ τὴν κατάραν τοῦ προφήτου Ὠσηέ; Πῶς δὲν εἶναι δακρύων ἄξιοι, ἐκεῖνοι ὁποῦ ἀθετοῦσι τὴν θειότητά σου; ποῖος νοῦς δύναται νὰ νοήσῃ, ἢ ποῖα γλῶσσα ἠμπορεῖ νὰ παραστήσῃ μὲ λόγον, τὴν φοβερὰν καταδίκην τούτων τῶν ἀντιχρίστων (ὅτι καὶ ὄντως ἀντίχριστοι), ὁποῦ γυμνῇ τῇ κεφαλῇ, καθὼς λέγει ἡ παροιμία, ἀντιφέρονται εἰς τὰ ἔργα καὶ τοὺς κόπους, καὶ τὰ τέλη τῆς ἐνσάρκου Οἰκονομίας τοῦ Χριστοῦ; βεβαιότατα, ὅσοι εἶναι οἱ στέφανοι, αἱ ἀντιμισθίαι καὶ τὰ γέρα τῶν θεοσόφων καὶ θεοκηρύκων Ἀποστόλων, ἄλλαι τόσαι θέλει εἶναι αἱ ποιναὶ καὶ βάσανοι τῶν χριστομάχων τούτων καὶ θεοσκοτίστων θεϊστῶν· φεύγετε, ἀδελφοὶ, ἀπὸ τούτους ὡς ἀπὸ πυρὸς· φεύγετε τὰς ψυχοβλαβεῖς συναναστροφάς των· φεύγετε τὴν ἀνάγνωσιν τῶν ἀντιθέων βιβλίων τους· υἱὲ, πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων· ἔτσι σοῦ παραγγέλει τὸ Πνεῦμα τὸ ἅγιον· (τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ὁποῖον καὶ αὐτὸ οἱ θεήλατοι θεϊσταὶ συνεμβάλλουσιν ἀντάμα μὲ τὸν οὗ ἐστι πνεῦμα Ἰησοῦν Χριστόν·) πίνε· λέγει, ὕδατα ἀπὸ σῶν ἀγγείων· ἤγουν ἀπὸ τὰ στόματα διδάσκου τῆς ἁγίας σου Ἐκκλησίας· ἀπὸ τοὺς ἱεροὺς Ἀποστόλους· ἀπὸ τοὺς θεοφόρους Πατέρας· ἀπὸ τὰς ἁγίας Συνόδους· καὶ πρὸ πάντων, ἀπὸ τὰς ἁγίας Γραφάς· μὴ προτιμήσῃς τοὺς παραλογισμοὺς τοῦ Βολταὶρ, ἀπὸ τὴν θεοσοφίαν τοῦ Παύλου· μὴν ἀκούσῃς τοὺς ἀθέους, ἀλλὰ τὸν Χρυσόστομον ἄκουε, τὸν Βασίλειον, τὸν Ἀθανάσιον, τὸν Γρηγόριον· μὴ δώσῃς προσοχὴν εἰς τὰ πειράματα τῶν νῦν φιλοσόφων, ἀλλὰ μάλιστα εἰς τὰ πράγματα τοῦ θείου Σπυρδωνος· στήλωσαι τὸν νοῦν σου, ὁποῦ εἶναι πάντῃ ἄσφαλτα· εἰς τὴν παρατήρησιν τῆς παραδόξου ἐκλείψεως τοῦ Ἡλίου, τὴν ὁποίαν ἔκαμεν ὁ ὑψίνους μέγας Διονύσιος, καὶ εὗρεν ἐκεῖθεν τὴν σωτηρίαν του· εἰς τὴν ὑπὲρ τῶν χριστιανῶν ἀπολογίαν, ὁποῦ ἔγραψεν Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς πρὸς τοὺς αὐτοκράτορας τῆς Ῥώμης· μὴ

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

δίδῃς προσοχὴν εἰς τὰς φλυαρίας τῶν ἀθέων ἐκείνων· ἀλλ' ἔχε πάντα εἰς τὸν νοῦν σου, τῶν ἁγίων Μαρτύρων τοὺς ἄθλους, καὶ τὴν ὑπὲρ φύσιν ἀνδρίαν καὶ σταθερότητα· τῶν ὁσίων ἀνδρῶν τοὺς μακροὺς καὶ ὑπὲρ ἄνθρωπον ἀγῶνας, τὰ ὁποῖα ὅλα δὲν ἤθελαν ὑπομείνει, ἂν δὲν ἦτο καταπεπεισμένοι, πῶς τοὺς ἐκδέχονται μετὰ θάνατον μισθοὶ ἀθάνατοι, ἀγαθὰ αἰώνια καὶ ἀτελεύτητα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· αὐτὰ ἀγαπητοί, συλλογίζεσθε, αὐτὰ μελετᾶτε καὶ ἑτοιμάζετε τὰ ἔργα σας, πρὸς ἀπολογίαν τῆς φοβερᾶς ἐκείνης ἡμέρας, ἀποφεύγοντες τὰς θεατρομανίας, τὰ ξεφαντώματα, τοὺς γέλωτας, τοὺς χορούς, τὰ παιγνίδια καὶ πᾶσαν σαρκικὴν ἡδυπάθειαν, ἀπὸ τὰ ὁποῖα ὅλα αὐτὰ σκορπίζεται ἡ θεία κατάνυξις, φεύγει ὁ φόβος τοῦ Θεοῦ, καὶ οὕτως εὑρίσκει χώραν ὁ Βολταιρισμὸς, ὁ ἀθεϊσμὸς, ἡ βίζα δηλαδὴ καὶ πηγὴ πάσης παρανόμου πράξεως.

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ Βασιλεὺς τῶν αἰώνων, καὶ δημιουργὸς πάντων καὶ οὐρανίων καὶ ἐπιγείων, ὁ σαρκὶ διὰ ἡμᾶς παθὼν, καὶ τὴν ἀπάθειαν ἡμῖν πρυτανεύσας, αὐτὸς διὰ τὴν οἰκείαν αὐτοῦ ἀγαθότητα, νὰ φωτίσῃ ἀδελφοὶ καὶ σᾶς καὶ ἡμᾶς, καὶ νὰ μᾶς ἀξιώσῃ νὰ ἔχωμεν εἰς τὰς καρδίας μας πάντοτε ἐρριζωμένον τὸν φόβον του, διὰ νὰ μᾶς ὁδηγῇ ἐκεῖνος ὡς λαμπὰς ἄσβεστος εἰς πᾶν ἔργον ἀγαθὸν, ἵνα εὑρεθῶμεν ἐνώπιον αὐτοῦ εὐάρεστοι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς φρικτῆς καὶ ἐνδόξου παρουσίας αὐτοῦ· ναὶ γένοιτο, καὶ γένοιτο διὰ πρεσβειῶν τοῦ μεγάλου καὶ θερμοῦ προστάτου τῆς ὀρθοδόξου Πίστεως, θείου Σπυρίδωνος, Ἀμήν.

ΑΚΟΛΟΥΘΙΑ ΥΜΝΗΤΗΡΙΟΣ

ΗΤΙΣ ΟΦΕΙΛΕΙ ΨΑΛΛΕΣΘΑΙ ΥΠΟ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ
ΚΑΤΑ ΤΗΝ ΔΩΔΕΚΑΤΗΝ ΤΟΥ ΝΟΕΜΒΡΙΟΥ ΜΗΝΟΣ

ΔΙΑ ΤΗΝ ΕΝ ΑΥΤΗ ΓΕΝΟΜΕΝΗΝ ΦΡΙΚΤΗΝ ΘΑΥΜΑΤΟΥΡΓΙΑΝ

ΥΠΟ ΤΟΥ ΘΕΙΟΥ

ΣΠΥΡΙΔΩΝΟΣ

Διὰ πυρὸς καὶ ὀλέθρου μεγίστου τοὺς Παπιστὰς κωλύσαντος, τοῦ οἰκοδομῆσαι ἐν τῷ σεβασμίῳ αὐτοῦ Ναῷ Ἁλτάριον, ἤτοι Θυσιαστήριον, ὡς ἠβουλήθησαν.

Γένεται οὖν, εἰ ἐνδέχεται ἀγρυπνία.
Καὶ ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸ Μακάριος ἀνὴρ, τὸ Κύριε ἐκέκραξα,
Καὶ φάλλομεν τὰ παρόντα προσόμοια εἰς στίχους ή.
Ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου Θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, τοῦ ἐκ Θεοῦ πρὸς ἡμᾶς, γενομένου, εἰς ἔνδειξιν, τῆς ἁγίας Πίστεως, τοῖς ἀνόμοις τρανώτατα· ὡς γὰρ Ἠλίας πυρὶ παρέδωκε, Σπυρίδων τούτους, πιστῶν ὁ πρόμαχος· ὢ οἷον δέδρακεν, ὡς λαμπρῶς κατέστρεψε τῶν παπιστῶν, ἅπασαν ἐπίνοιαν, καὶ μέγα φρύαγμα.

Ὦ τῆς ἀδεκάστου κρίσεως, τοῦ οὐρανοῦ μεταξὺ, τῆς Ἑώας καὶ Δύσεως, εἰς ᾧ εἰ ἐν δόγμασι, μαχομένων

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὸ πρότερον· ὁ γὰρ Σπυρίδων θεόθεν ἔκρινε, Λατίνων γένη εἶναι ἀπόβλητα. Ὦ θείας κρίσεως· ὡς καλῶς διέστειλε τῶν ἱερῶν, τὸ παρανομώτατον, θυσιαστήριον.

Χαίροις Ἐκκλησία πάνσεμνε, ἡ ἐκλεκτὴ τοῦ Χριστοῦ, Νύμφη ὄντως καὶ ἄμωμος, καὶ ἡμῶν τῶν δούλων σου, θεία μήτηρ καὶ καύχημα· ὡς Μωαβίτας πόρρω γὰρ ὤθησε, τῶν περιβόλων τῆς εὐπρεπείας σου, τοὺς ἐκ τῆς Δύσεως, ὁ Σπυρίδων ἄριστα καταβαλών, οἷα μελετήσαντας καινὰ καὶ ἄθεμα.

Ἦχ. ά. Τῶν οὐρανίων ταγμάτων.

Ὦ τῶν σοφῶν τοῦ Κυρίου κριμάτων ἄνθρωποι· ὅτι Λατίνων λώβην, ἐξ ἡμῶν ἀποκρίνων, ἤλασε βαρβάρων ῥάβδῳ τὸ πρίν· τὸν δὲ θεῖον Σπυρίδωνα, ὥσπερ φλογίνην ῥομφαίαν, κατὰ δυσμὰς, πρὸς τὰ θράση αὐτῶν ἔταξε.

Τῶν Κερκυραίων ἡ πόλις, σκίρτα καὶ χόρευε. Ἐν σοὶ γὰρ ὁ Σπυρίδων, τοῦ Θεοῦ ὁ βραχίων, δέδωκε τὸ κράτος, τῇ τοῦ Χριστοῦ, ἐκκλησίᾳ ἀείμνηστον, τοὺς παπιστὰς ὡς ἀθέους καὶ βδελικτούς, τῷ πυρὶ καταστρεψάμενος.

Χαίροις Γραικῶν ἐκκλησία, ἡ ἑπομένη ἀεὶ, τοῖς τῶν πατέρων ὅροις ὡς λαμπρῶς μαρτυρεῖ σοι, Σπυρίδων οὗρα, ὀθεν, μένων ἐν σοὶ, καὶ τῶν σῶν προϊστάμενος· ὃν σὺν τῷ Μάρκῳ Ἐφέσου χαρμονικῶς, περικρότει, ὡς ὑψοῦντάς σε.

Δόξα, ἦχ. ά.

Θεαρχίῳ πνεύματι, ἄνωθεν Σπυρίδων ὁ θεοφόρητος,

ὑπὸ πιστῶν θλιβομένων καλούμενος· πλ. ά. Τὸν μὲν ἡγεμόνα Πανέστιον, σὺν τῷ λήρῳ θεολόγῳ, ἐπιστὰς ἀθρόον κατέχωσεν. ἦχ. β'. Οἱ δὲ ὑπόλοιποι τῶν Ἐνετῶν πρωΐας, παρὰ τοῦ φύλακος τὰ πάντα κατακούσαντες. πλ. β'. Τὸ φρικτὸν ὄντως καὶ ἐξαίσιον θαῦμα ὡς ἔμαθον, τῷ δέει κρατούμενοι εἰς τὰ οἰκεῖα συνεστάλησαν, καὶ μετ' αἰσχύνης ἐβόων τοῖς ὁμοφύλοις καὶ ὑπηρέταις· ἰδοὺ δὴ ὠφίλοι φράτρες τὸ πρᾶγμα πῶς ἀντέστραπται. ἦχ. γ'. Ἄρατε λοιπὸν ἐκεῖθεν μετὰ τῶν λίθων καὶ τὴν ἄσβεστον, ἵνα μήτι χεῖρον ἡμῖν ξυμβαίη. Βαρύς· διὰ ταῦτα γὰρ καὶ ἡ τῶν ἀδελφῶν ἡμῶν πανωλεθρία γέγονεν· ἢ ἀντιλέγειν οὐκ ἰσχύομεν, καὶ ταύτην λόγοις βεβήλοις διαστρέφειν ἀδύνατον. ἦχ. δ'. Τοῦτο γὰρ τὸ θαῦμα ὑπερέχει πᾶσαν ἔννοιαν· ἦχ. πλ. δ'. Ἀλλ' ὦ πανθαύμαστε ἱεράρχα, ὡς τῆς Καθολικῆς ἐκκλησίας, καὶ πάλαι καὶ νῦν σὲ προστάτην εἰδότες καὶ πρόμαχον, εὐεργέτην θεῖον ἐπιγραφόμεθα, καὶ τὴν σὴν προστασίαν ἀεὶ ἐξαιτούμεθα. ἦχ. ά. Εἰς τοὺς αἰῶνας ἀξιοπρεπῶς σὲ γεραίροντες.

Καὶ νῦν, Ἦχος πλ. δ'.

Μετὰ τὸ τεχθῆναί σε, θεόνυμφε Δέσποινα, παρεγένου ἐν ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ ἅγια τῶν ἁγίων ὡς ἡγιασμένη· τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. Τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ πνεῦμα τὸ ἅγιον ἐν σοὶ σκηνῶσαν· ὃ ἄσπιλε ἀμόλυντε, ἡ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, μήτηρ Θεοῦ σῶζε τὸ γένος ἡμῶν.

Εἴσοδος· Φῶς ἱλαρόν·
τὸ προκείμενον τῆς ἡμέρας· καὶ τὰ ἑξῆς ἀναγνώσματα.

Ἀριθμῶν τὸ Ἀνάγνωσμα.

Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Λάλησον τῇ Συναγωγῇ λέγων, ἀναχωρήσατε κύκλῳ ἀπὸ τῆς Συναγωγῆς Κορέ. Καὶ ἀνέστη Μωϋσῆς, καὶ ἐπορεύθη πρὸς Δαθὰν καὶ Ἀβειρών, καὶ συνεπορεύθησαν μετ' αὐτοῦ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ· καὶ ἐλάλησε πρὸς τὴν Συναγωγὴν, λέγων, ἀποσχίσθητε ἀπὸ τῶν σκηνῶν τῶν ἀνθρώπων τῶν σκληρῶν τούτων, καὶ μὴ ἅπτησθε ἀπὸ πάντων, ὧν ἐστὶν εὐροΐς, μὴ συναπόλησθε ἐν πάσῃ τῇ ἁμαρτίᾳ αὐτῶν· καὶ ἀπέστησαν ἀπὸ τῆς σκηνῆς Κορὲ κύκλῳ· καὶ Δαθὰν καὶ Ἀβειρὼν ἐξῆλθεν, καὶ εἱστήκεισαν παρὰ τὰς θύρας τῶν σκηνῶν αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ ἡ ἀποσκευὴ αὐτῶν· καὶ εἶπε Μωϋσῆς, ἐν τούτῳ γνώσεσθε, ὅτι Κύριος ἀπέσταλκέ με ποιῆσαι πάντα τὰ ἔργα ταῦτα, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ· εἰ κατὰ θάνατον πάντων ἀνθρώπων ἐπισκοπὴ ἔσται αὐτῶν, οὐχὶ Κύριος ἀπέσταλκέ με; ἀλλ' ἢ ἐν φάσματι δείξει Κύριος· καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς καταπίεται αὐτοὺς, καὶ τοὺς οἴκους αὐτῶν, καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς, καὶ καταβήσονται εἰς ᾅδου ζῶντες, καὶ γνώσεσθε, ὅτι παρώξυναν οἱ ἄνθρωποι οὗτοι τὸν Κύριον· ὡς δὲ ἐπαύσατο λαλῶν πάντας τοὺς λόγους τούτους, ἐρράγη ἡ Γῆ ὑπὸ κάτω αὐτῶν· καὶ ἠνοίχθη ἡ Γῆ, καὶ κατέπιεν αὐτοὺς, καὶ τοὺς οἴκους αὐτῶν· καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ Κορὲ, καὶ τὰ κτήνη αὐτῶν· καὶ κατέβησαν αὐτοὶ, καὶ ὅσα ἐστὶν αὐτῶν ζῶντα εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ Γῆ, καὶ ἀπώλοντο ἐκ μέσου τῆς Συναγωγῆς· καὶ πᾶς Ἰσραὴλ οἱ κύκλῳ αὐτῶν ἔφυγον ἀπὸ τῆς φωνῆς αὐτῶν, ὅτι λέγοντες μήποτε καταπίῃ ἡμᾶς ἡ Γῆ· καὶ πῦρ ἐξῆλθε παρὰ Κυρίου καὶ κατέφαγε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας τοὺς προσφέροντας τὸ θυμίαμα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες αὐτήν· χαρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῆς· ἵνα θηλάσητε, καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς, ὅτι τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ κλινῶ εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλίζων δόξαν ἐθνῶν· τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσονται, καὶ ἐπί γονάτων παρακληθήσονται· ὡς εἴτινα μήτηρ παρακαλέσει, οὕτω κἀγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε· καὶ ὄψεσθε, καὶ χαρίσετε ἡ καρδία ὑμῶν, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ· καὶ γνωσθήσεται ἡ χεὶρ Κυρίου τοῖς φοβουμένοις αὐτὸν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσι· ἰδοὺ γὰρ Κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν αὐτοῦ, καὶ ἀποσκορακισμὸν ἐν φλογὶ πυρός· ἐν γὰρ τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ Γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ Κυρίου· οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέας ὕειον, καὶ τὰ βδελύγματα καὶ τὸν μῦν, ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, εἶπε Κύριος.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ δι' εὐθείας οὐκ ἠδύναντο διελθεῖν· καὶ ἡ ἀλήθεια ἦρται, καὶ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι· καὶ εἶδε Κύριος, καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο· καὶ ἐνεδύσατο διαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς· καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως, καὶ τὸ περιβόλαιον αὐτοῦ, ὡς ἀνταποδώσων ἀνταπόδοσιν ὀνειδος τοῖς ὑπεναντίοις· καὶ φοβηθήσονται οἱ ἀπὸ Δυσμῶν τὸ ὄνομα Κυρίου, καὶ ὑπ' Ἀνατολῶν Ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον· ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ Κυρίου· ἥξει μετὰ θυμοῦ· καὶ ἥξει ἕνεκεν Σιὼν ὁρυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, εἶπε Κύριος· τὸ πνεῦμα τὸ ἐμὸν, ὅ ἐστιν ἐπὶ σοὶ καὶ τὰ ῥήματα, ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου· εἶπε γὰρ Κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· φωτίζου, φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν· ἰδοὺ, σκότος, καλύψει Γῆν, καὶ γνόφος ἐπὶ ἔθνη, ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ Δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται.

Εἰς τὴν λιτήν· ἦχ. α'.

Σταλάξατε τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ἀγαλλίασιν· τοὺς γὰρ ἐπὶ πλείστοις ἔτεσι τὴν καθ' ἡμᾶς ἁγίαν

Ἐκκλησίαν, ἀσχέτῳ θράσει διαβάλλοντας, ἐπὶ τῇ ἔξωθεν αὐτῆς ταπεινώσει, καὶ δίκας ἀπειθείας καὶ σχίσματος τινύειν αὐτὴν λέγοντας· σήμερον ὡς ἀληθῶς ἡ τοῦ Θεοῦ δίκη μετῆλθε, διὰ Σπυρίδωνος τοῦ θεόφρονος· τὴν γὰρ παρατροπὴν τῆς ὑπ' αὐτοῦ παραδοθείσης πίστεως, μηδαμῶς ἀνεχόμενος, καὶ τὴν Ἰουδαϊκὴν ἄζυμοθυσίαν βδελυττόμενος, ὡς Ἀμμάνιτας καὶ Μωαβίτας, πόρρω τοῦ θείου ἀπήλασε Ναοῦ, ἐν αὐτῷ θυσιαστήριον πῆξαι βέβηλον σπεύδοντας· καὶ τοὺς μὲν ὡς πυρὸς ἀξίους τοῦ αἰωνίου, διὰ πυρὸς κατεστρέψατο καὶ κατέχωσε· τὴν δὲ ὡς νύμφην ἑαυτοῦ ἐκλεκτὴν καὶ πανάμωμον, στολὴν δόξης, περιέβαλε καὶ ἀνύψωσε· δι' ὃ σήμερον ἀγαλλομένη, πρὸς αὐτὸν βοᾷ λέγουσα, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, δόξα σοι.

Ὁ αὐτός.

Ἀγάλλεται σήμερον ἡ Κέρκυρα, ὡς ὁ πάλαι Ἰσραὴλ ἰδοῦσα τὴν χεῖρα τοῦ Θεοῦ τὴν ὑψηλήν· ὡς γὰρ ἐκεῖνος τοὺς διώκοντας Αἰγυπτίους, ὑποβρυχίους ἑώρακεν, οὕτω καὶ νῦν αὕτη, τοὺς κατὰ Θεοῦ βουλευσαμένους Λατίνους, ὑποχθονίους γενομένους τεθέαται, τοῦ Σπυρίδωνος κατὰ μέσην νύκτα, τὴν ἀκρόπολιν αὐτοῖς διὰ πυρὸς ἐπισείσαντος, καὶ εἵλκυσεν, ὡς ἀληθῶς ἐν αὐτῇ πέρας ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαβίδ· τὸ γὰρ ἑσπέρας μὲν κλαυθμὸς ηὐλίσθη καὶ δάκρυα, πρὸς Θεὸν καὶ τὸν αὐτοῦ θεράποντα, τὸν θερμὸν τῆς πίστεως προστάτην καὶ πρόμαχον· εἰς δὲ τὸ πρωῒ ἐπέλαμψεν ἀγαλλίασις· δι' ὃ καὶ ᾠδαῖς πνευματικαῖς ἀποδιδοῦσα τὰ χαριστήρια, δοξάζει εἰς αἰῶνας τὸν σωτῆρα Χριστὸν, καὶ Σπυρίδωνα τὸν αὐτοῦ βραχίονα.

Ἦχος δ'.

Ἡ χάρις ἐπέλαμψε τῆς ἀληθείας· τὰ θεσπιζόμενα πάλαι λογικῶς, νῦν πραγματικῶς ἐκυρώθησαν· τοὺς γὰρ ἀθετοῦντας, τοὺς τῶν Συνόδων ὅρους, Σπυρίδων ὁ τούτων σύμψηφος καὶ ἔκδικος, ἐνδίκως τῷ πυρὶ παρέδωκεν· ἐνδυσάσθωσαν αἰσχύνην οἱ τούτοις μὴ πειθόμενοι· ἡμῖν γὰρ δόξα τὰ τῶν Συνόδων κρατεῖν, οὐκ ἐκ τοῦ Υἱοῦ, ἀλλ' ἐκ τοῦ Πατρὸς θεολογούντων τὸ Πνεῦμα, ὡς αὐτὸς ἐδίδαξεν ὁ Κύριος· πρὸς ὃν βοήσομεν λέγοντες, φιλάνθρωπε Κύριε, ἀξίωσον ἡμᾶς μέχρι τέλους τηρεῖν τὴν ἄχραντόν σου θεολογίαν, καὶ μετὰ ταύτης παραστῆναι ἐνώπιόν σου, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος γ'.

Τὴν ἱεραρτικὴν στολὴν ἀμπεχόμενος, φλόγα προσῆγες τοῖς ὑβρισταῖς, διεκδικῶν τὴν εὐσέβειαν, θρασυνομένοις τῷ κράτει τῆς ἀσεβείας, ὑβρίζειν τὸν Ναὸν ἁγιόν σου· τοιαῦτα γάρ που τὰ ἄζυμα· καὶ μάρτυρα τέμενος ἀπαράγραπτον τὸν στέφανον ἐδωρήσω τῆς νίκης, ἡμῖν τοῖς σὲ τιμῶσι Σπυρίδων παναοίδιμε.

Ἦχ. πλ. δ'.

Μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ τῆς συνέσεώς σου ἀληθῶς οὐκ ἔστιν ἀριθμός· ἵνα γὰρ θεομηνίας, ἀλλ' οὐ φύσεως ἀποτέλεσμα κριθῇ, ἡ τῶν παρανομωτάτων παπιστῶν καταστροφὴ, τὸν μὲν φύλακα ὀφθαλμοῖς ἠξίωσας ἰδεῖν τὸν ἅγιόν σου, τὸ πῦρ μετὰ χεῖρας φέροντα, καὶ ζῶντα διετήρησας μεταθέμενος, ὡς εἶναι τοῦ-

τον μάρτυρα ἀπαράγραπτον, ὧν ἑώρακεν, ὧν τε ἤκουσε, καὶ ὧν πέπονθε· τὴν δὲ ἐν τῷ Ναῷ τοῦ ἡγεμόνος φωταγωγὸν, ἐξ ἰσχυρᾶς ἀλύσεως αἰωρημένην εἰς γῆν εὐδόκησας πεσεῖν, καὶ ἅμα τὴν ἐν ταῖς Ἐνετίαις αὐτοῦ εἰκόνα, κεραυνόβλητον γενέσθαι πεποίηκας· ἅπαντα γὰρ ταῦτα, τῆς σῆς ὀργῆς ἔργον ὑπάρξαι, τὴν παγκοσμίαν διεβεβαιώσαντο· δι' ὅπερ ἡμεῖς οἱ ἀνάξιοι, οἱ τηλικαύτης εὐεργεσίας ἀπολαύσαντες, εὐχαριστοῦντες σοι κραυγάζομεν, ἀπειροδύναμε, καὶ ἀπειρόσοφε Κύριε δόξα σοι.

Δόξα, ἦχ. β'.

Ἱεραρχῶν τὸ θεῖον κειμήλιον, Πάτερ ὅσιε Σπυρίδων σοφὲ, σὺ ἐν ἀρεταῖς ἀναδέδειξαι· ὅθεν τῆς Ἐκκλησίας προστάτης γενόμενος αἱρεσιώτας ἐξώθησας, καὶ τοῦ δυνάστου τὸ φρύαγμα, διὰ πυρὸς εἰς γῆν κατηδάφισας· δι' ὃ θαυματουργῶν ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.

Ἀπὸ στίχ. ἦχ. πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἡ δεξιὰ τοῦ Θεοῦ, ἡ ὑψηλὴ καὶ θαυμαστὴ καὶ ἐξαίσιος, Σπυρίδων ὁ τῶν Λατίνων, τὴν ἐπηρμένην ὀφρῦν, καὶ τὴν ὕβριν πᾶσαν τὴν τολμήσασαν, εἰς Ναόν σου μυστήρια, ἐκτελεῖν τὰ παράνομα, καταχαώσας, καὶ τὸν πᾶσαν ἀντίθεον καὶ παράφρονα, ἀποδείξας τοῖς πράγμασι, Μάρκου δὲ τὰ παλαίσματα, κυρώσας τρανώτατα, λῆρον ἡγεῖσθαι δὲ ὄντως τῆς Φλωρεντίας τὸν σύλλογον, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Χαίροις ὁ καὶ πραὺς ἐν καιρῷ, καὶ μαχητὴς κατὰ Μωσῆν ἐνδικώδατος, τῶν Θείων τῆς Ἐκκλησίας, ἀθετουμένων Θεσμῶν· τοὺς γὰρ ὅρους πάντας, τοὺς ἀβίαστον, διαμένειν τὸ σύμβολον, ἐκφωνοῦντας σαφέστατα, ἀδικουμένους, τοῖς σπαράκταις τῆς Δύσεως, ἐξεδίκησας, καταστρέψας τοὺς ἄφρονας· ὅθεν νῦν ἐπαγάλλονται, Πατέρων τὰ τάγματα, καὶ τῶν Συνόδων τὰ πλήθη, τῶν ἱερῶν πόρρω βλέποντες, ὡς δὴ ἀνιέρους, ὑπὸ σοῦ ἀπελαθέντας, Σπυρίδων ἔνδοξε.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη...

Δεῦτε οἱ χριστοφόροι λαοὶ, τῆς παγκοσμίου Ἐκκλησίας οἱ τρόφιμοι, τὴν νίκην, τὴν δεδομένην παρὰ Θεοῦ πρὸς ἡμᾶς, ἐπιγνόντες πόθῳ ἑορτάσωμεν, λαμπρῶς, καὶ κροτήσωμεν, τὸ τοῦ πνεύματος ὄργανον, καὶ τῆς Ἑώας τὸ περίδοξον καύχημα, καὶ θεφένσορα, τὸν ἐκ Κύπρου Σπυρίδωνα, πάντας τοὺς ἑτερόφρονας, διδάξαντα πράγματι, μίαν εἰδέναι ἁγίαν ὡς ἀληθῶς καὶ ὀρθόδοξον, Χριστοῦ Ἐκκλησίαν, τὴν κατέχουσαν τὴν πίστιν ἀκαινοτόμητον.

Δόξα, Ἦχος δ'.

Ὅσιε πάτερ ἱεράρχα ἀοίδιμε, ἀποστολικῆς διδασκαλίας γενόμενος ἔμπλεως, καὶ τοῦ Θείου πνεύματος καταγώγιον, δι' ἐναρέτου πολιτείας ἀναδειχθεὶς, τῆς Ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας, καὶ τὴν ὀρθόδοξον σαφῶς τρανώσας πίστιν, στύλος ἀναδείκνυσαι, εὐσεβείας

πρόμαχος· δι' ὃ καὶ νῦν Θαυματουργῶν ἐν τῇ Κερκύρᾳ, πόρρω τοὺς παπιστὰς ἐδίωξας, ὡς βδελυροὺς καὶ κακόφρονας, ἀλλ' ὦ πατέρων ἀξιάγαστε, καὶ τῶν συνόδων ἔνδικε, τὸν Σωτῆρα ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Δεῦτε πάντες οἱ λαοί, τὴν μόνην Ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσενεχθεῖσαν· τὴν πρὸ αἰώνων προορισθεῖσαν Θεοτόκον· Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου πάρασχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος α'.

Τῆς Συνόδου τῆς πρώτης, ὥσπερ πάλαι ὑπέρμαχος, οὕτω νῦν ὑψῶν ἀνεφάνης τὴν Ἐκκλησίαν Χριστοῦ· καὶ γὰρ μακρὰν τοῦ ναοῦ σου ἐξωθεὶς, καὶ ἄρδην ἐν πυρὶ κατέστρεψάς, καὶ εἰς τὸ ἄσβεστον ἀπέπεμψας σαφῶς, Λατίνων γόνους, ὡς στρεβλοῦντας τὴν θεολογίαν σου· δόξα τῷ σὲ βραβεύσαντι ἡμῖν, δόξα τῷ σὲ δοξάσαντι, δόξα τῷ διὰ σοῦ ὑψώσαντι ἡμᾶς Σπυρίδων μέγιστε.

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου.
»Εἰς τὸν ὄρθρον τὰ αὐτά· καὶ τὰ ἑξῆς καθίσματα.»
Ἦχ. πλ. δ'. Κατεπλάγη Ἰωσήφ.

Δεῦτε ἴδωμεν φρικτὰ, ἐν τῇ Κερκύρᾳ τῇ λαμπρᾷ· ἐθαυμαστώθη γὰρ ἐκεῖ, Πίστις ἡ Θεία ἐκ Θεοῦ, καταχωσθέντων τῶν βιαστῶν τῆς Ἐκκλησίας· ἔκρινεν ἡ δίκη τοὺς ὑβριστὰς τοῦ Θεοῦ, ἐκβέβληται ὁ Πάπας ὡς ὄντως βλάσφημος· τοῦτο γὰρ Σπυρίδων ἔδειξεν, ὡς βέβηλον τὴν

θυσίαν μὴ στέρξας, τὴν τῶν ἀζύμων, καὶ τὴν προσθήκην, οἷα λοιμὸν τῆς Ἐκκλησίας.

Ἕτερον. Τὸν Τάφον σου Σωτήρ. Δόξα,

Ἡ πλὰξ ἐν τῷ Ναῷ, τῷ ἀκούοντι Δόμῳ, ἀφώνως μαρτυρεῖ, τὸ ἐξαίσιον Θαῦμα, κειμένη ποῦ σεμνότερον, τοῖς γραικοῖς τερπνὸν Θέαμα· οὐ γὰρ ἴσχυσαν ἐν τῷ Ναῷ σου τρισμάκαρ, εἰς Ἀλτάριον αὐτὴν ποτὲ ἐνθρονίσαι, κενῶς βιασάμενοι. Καὶ νῦν. Θεοτοκίον.

Δικαίων ὁ καρπὸς, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσου ἡ τροφὸς, τῆς ζωῆς ἡμῶν· ἣν εὐλόγησεν ὁ ἱερὸς Ζαχαρίας, ταύτην ἅπαντες, οἱ γηγενεῖς μετὰ φόβου, πιστῶς μακαρίσωμεν.

Μετὰ τὴν 6'. στιχολογίαν· Κατεπλάγη Ἰωσήφ.

Ἀναντίρρητός ἐστιν, αὕτη ἀπόδειξις Θεοῦ, καὶ ἐπίγνωτε· λοιπὸν, ὅτι πλανᾶσθε Παπισταί· καὶ τὴν κακίστην ἀπώσασθε νῦν πεισμοσύνην· πᾶσι γὰρ σαφὲς ἤδη γέγονεν, εἶναι παρ' ἡμῖν τὴν ἀλήθειαν· καὶ μαρτυρεῖ τὰ πράγματα βοῶντα σάλπιγγος δίκην καὶ λέγοντα, Σπυρίδων πάντας, ἀποδιώκει, τοὺς Λατίνους, ὡς βδέλυγμα.

Δόξα, ἕτερον. Τὴν ὡραιότητα. . . .

Μάτην ἀνίερε, φράτορ βεβούλησαι, τελεῖν τὴν βέβηλον, λατινομίνσαν σου, ὁ ἐναγὴς ἐν τῷ πλευρῷ Σπυρίδωνος τοῦ ἁγίου· ἄζυμα οὐ δέχεται ὁ Σπυρίδων τὰ ἄψυχα, ὥσπερ οὐδὲ σύμβολον ἐν προσθήκῃ ψαλλόμενον· δι' ὃ καὶ ἐν βορβόρῳ ῥιπτεῖσε βόρβορον ὄντως ὄντα.

Καὶ νῦν. Θεοτοκίον. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον, ἡ οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα, αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Μετὰ τὸν Πολυέλεον. Τὴν σοφίαν καὶ λόγον...

Στεναγμοὺς τοῦ λαοῦ σου μὴ παριδὼν, καὶ Λατίνων τὸ θράσος μὴ ἐνεγκών, ὀλέθρῳ παρέδωκας, τοῦ Θεοῦ τοὺς ἀλάστορας, ὡς Κορὲ σὺν τῷ γένει, καὶ ᾅδην οἱ δείλαιοι, καὶ τὸ πῦρ τῆς Γεέννης, ἀθρόον ἠλλάξαντο, οὐμὲν οὖν καὶ ζῶντες, τῷ γὰρ ὕπνῳ οὐκ ἔζων· καὶ νῦν οἱ περίλοιποι, μετ' αἰσχύνης αἰσθάνονται, εἰς κενὸν αὐθαδίσαντες, ἔχοντες οὐδὲν ἀντειπεῖν, ἀλλὰ καὶ μένουσιν οὕτως ἀσύνετοι, οἱ τὴν σύμπασαν Ἐκκλησίαν ταράξαντες.

Δόξα, καὶ νῦν. Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος θεία λαμπὰς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ, ἣν καὶ βλέπων εὐλόγησεν, ὁ Βαραχίου υἱὸς, καὶ χαίρων ἀνεκραύγαζε, χαῖρε θαῦμα παγκόσμιον.

Οἱ ἀναβαθμοὶ τοῦ δ'. ἤχου. Προκείμενον, Ἦχ. δ'.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Στίχ. ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες...

Εὐαγγέλιον κατὰ Ἰωάννην, Εἶπεν ὁ Κύριος, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας.

Ὁ Ν'. Δόξα, τὸ παρόν. Ἦχος β'.

Τὰ σύμπαντα σήμερον χαρᾶς πληροῦται, λαμπρῶς φωνείσης τῆς ἀληθείας.

Ἐλέησόν με· τὸ παρὸν ἰδιόμ. Ἦχ. πλ. β'.

Ἑωὰς ἀγλάϊσμα Σπυρίδων σοφὲ, καὶ ἀκριθήνιον, τῇ τῶν θαυμάτων σου αἴγλη, τῆς οἰκουμένης φωτίζων τὰ πέρατα, καὶ τῆς λώβης τῶν Λατίνων ἀναιρέτης φανείς, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον· καὶ τὰ λοιπά.

Οἱ κανόνες, ὁ ἀ. τῆς Θεοτόκου. Ὠδὴ ἐπινίκιον· ζήτει ἐν τῇ ἑορτῇ τοῦ ἁγίου Ἀνδρέου· καὶ οἱ ἑξῆς δύω εἰς τὴν παροῦσαν ἑορτήν.

Ὁ πρῶτος Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Γυμνοῦμεν τὴν θεϊκήν σου Δέσποτα, θεόντως πρόνοιαν, τὸν εὐσεβῆ λαόν σου· καὶ γὰρ σὺ, ἐξ ἐχθρῶν ἐξεδίκισας, διὰ πυρὸς ὡς ἄφρονας τοὺς παπιστὰς καταστρεψάμενος.

Ἐπῆλθεν, εἰς νοῦν ποτε τοῦ φράτορος, προσφέρειν ἄζυμα οὐκ εὐσεβῶς, ἐγεῖραί τε βωμὸν, ἐν Ναῷ τοῦ Σπυρίδωνος, ἀλλὰ κακῶς ὁ ἄνομος, ὥσπερ ὁ Δαθὰν κατακέκριται.

Καὶ θᾶττον, ὁ Ἡγεμὼν ἐπένευσε, καὶ ἅμα προὔτεινε, τῷ ἱερεῖ ὃ βούλεται εἰπὼν, καὶ μὴ ἄλλως ἐνδέχεσθαι· ἀλλὰ νυκτὸς ὡς ὕπνωσε, κάτω ἐν τῷ ᾅδῃ ἀφύπνωσεν.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΔΙΑΜΑΝΤΟΠΟΥΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΧΡΗΣΤΟΣ ΚΑΡΑΚΑΣΗΣ ΕΠΙΤΡΟΠΟΣ ΕΠΙΤΡΟΠΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι, ἐκ Θείου πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ἄλλος. Ἦχ. α'. Ὠδὴν ἐπινίκιον.

Ὠδὴν ἐπινίκιον ἄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ κρίναντι, ὅτι γραικοὶ ὀρθῶς πιστεύουσι.

Λαμπρῶς ἑορτάσωμεν, σήμερον πάντες, Θεοῦ τὰ θαυμάσια καὶ λαμπρὰ τρόπαια· κατέστρεψε γὰρ ἐχθρούς, καὶ ἔῤῥαξε τοὺς παπιστὰς εἰς γῆν ὡς ἄφρονας.

Ἡμέραν εὐφρόσυνον, Κέρκυρα ἄγει, τοὺς πρώην ὑβρίζοντας, εἰς γῆν βλέψασα· ἀνέστη καὶ γὰρ Θεός, καὶ ἔκρινεν ἐξ οὐρανοῦ φρικτοῖς ἐν θαύμασι.

Θεοτοκίον.

Τὸ ὄρος τὸ ἅγιον· ὅπερ προεῖδεν προφήτης ἐν πνεύματι, ἐξ οὗ λίθος τέτμιται, τοὺς τῶν εἰδώλων βωμούς, συντρίψας σθένει Θεϊκῷ, σὺ εἶ Παρθένε ἁγνή.

Ὠδὴ γ'. Εὐφροσύνεται ἐπὶ σοί.

Ἐδόξασας ἀληθῶς, τὴν Ἐκκλησίαν σου Χριστὲ σήμερον, δείξας αὐτὴν ἄμωμον, τοὺς παπιστικοὺς ἀπωσάμενος.

Ἀνέδειξας ἀγαθὲ, ὀρθοδοξοῦντας τοὺς γραικοὺς σήμερον, τοὺς δυτικοὺς δ' ἔμπαλιν, σκεύη τῶν αἱρέσεων κάκιστα.

Σπυρίδωνα τὸν σεπτὸν, ἀνευφημοῦμεν οἱ πιστοὶ σήμερον· καὶ γὰρ αὐτὸς ἔσβεσε, τῶν αἱρετικῶν τὰ φρυάγματα.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Ἄλλος· Στερεωθήτω ἡ καρδία μου.

Ὁ στρατιώτης θεασάμενος, ἐν χειρὶ τὸ πῦρ σε κατέχοντα, Νόμῳ καὶ τάξει ἑρωτᾷ, κοινὰ βλέπειν οἰόμενος· τοῦ δὲ πάθους τελεσθέντος, κήρυξ ὤφθη τοῦ θαύματος.

Σύνετε νῦν οἱ λατινόφρονες, ἀληθῶς οἱ ὄντες μιξόθηρες· ὅτι ἀπώλειαν γεννᾷ, ἡ τοῦ Πάπα προσκύνησις· καὶ γραικοὶ ὄντες τῇ φύσει, πρὸς γραικοὺς ἐπιστράφητε.

Ἀλλὰ καὶ πάντες οἱ κακόδοξοι, τ' ἀληθὲς ἐντεῦθεν διδάχθητε· οὓς γὰρ Σπυρίδων ἐκδικεῖ, κατὰ πάντων ἀπόδειξις· οὐρανοῦ γὰρ αὕτη κρίσις, ἀψευδὴς καὶ ἀδέκαστος.

Θεοτοκίον.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρετῶν, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε τῶν πιστῶν ἡ βοήθεια.

Καθίσματα. Τὴν σοφίαν καὶ λόγον.

Ἐκ ποιμνίου προβάτων ἐπιστατεῖν, τὴν Χριστοῦ Ἐκ-

κλησίαν προχειρισθεὶς, ποιμὴν, σὺ παγκόσμιος, ἀνεδείχθης τοῖς πράγμασι, κακοδοξίας λύκους, ἐλάσας τοῖς θαύμασιν, ἐν εὐσεβείας πόᾳ αὐτὴν ἐκτρεφόμενος· καὶ νῦν ἐν Κερκύρᾳ, τῶν φρατόρων τὰ στίφη, ἀθέους ἀνέδειξας, παραπέμψας εἰς ὄλεθρον, ἱεράρχα Πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς σὲ τιμῶσιν ἐν πίστει, Σπυρίδων πανθαύμαστε.

Δόξα, Τὸ προσταχθέν.

Τῶν θαυμασίων τοῦ Θεοῦ ἄγοντες μνείαν, ἑτοιμαζόμεθα πιστοὶ πρὸ τῆς ἐξόδου, καὶ τῆς πίστεως ἀξίως πολιτευθῶμεν· ὁ Παῦλος γὰρ πᾶσι λέγει, ὡς φοβερὸν, εἰς χεῖρας Θεοῦ τῶν ὅλων, τὸ ἐμπεσεῖν· ὅθεν φόβῳ λατρεύσωμεν, ἡμέραν ὄντως τὴν φρικτὴν, ἐκείνην ἐνθυμούμενοι, ὅτε κρίνει τὰ σύμπαντα.

Καὶ νῦν. Ὅμοιον.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος, ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος Θεία λαμπάς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ· ἣν καὶ βλέπων εὐλόγησε ὁ Βαραχίου υἱός, καὶ φαίρων ἀνεκραύγαζε, χαῖρε θαῦμα παγκόσμιον.

Ὠδὴ δ'. Ἐπερθέντασε ἰδοῦσα.

Οὐ βδελύγματα ἀζύμων ἡ Ἐκκλησία, τῷ ἑαυτῆς νυμφίῳ, εἰς θυσίαν προσάγει· ὅθεν ἀπελαύνονται, οἱ ἐβιωνίζοντες δόξαν τῷ Κυρίῳ μὴ φέροντες.

Δεισιδαίμονος ἐκ πλάνης σὺν ὀρθοδόξοις, ὡς πάλαι Σα-

μαρεῖται μετὰ τῶν Ἰουδαίων, εἶναι τοῦ Θεοῦ λατρευταί, ἐθέλουσι φράτορες, ὅμως μετ' αἰσχύνης διώκονται.

Τὸν Ποντίφικα, ὃν τρέμουσι πᾶσαι γλῶσσαι, ὁ ταπεινὸς Σπυρίδων, εἰς τὴν Γῆν καταράσσει, καὶ παίγνιον δίδωσι, τοῖς πίστει κραυγάζουσι, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας, ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν, ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδικάστῳ κραυγάζομεν.

Ἄλλος· Ἐν πνεύματι προβλέπων.

Σπυρίδων ὁ Θεόφρων, οὐ μέλλει οὐδ' ἀργεῖ, ἐν πυρὶ ἐφίσταται ἐνδίκως μετ' ὀργῆς, τοῦ στρατιώτου τὰ πάντα θεασαμένου, καὶ μεθ' ἡμέραν μεγάλως βοῶντος πᾶσιν, ὄντως ὁ Σπυρίδων εἰργάσατο.

Ἐκάλυψε καὶ πάλαι Δαθὰν καὶ Ἀβειρών, ὑπὸ Γῆν ὁ Κύριος, μὴ ὄντας ἱερεῖς· νῦν δὲ Σπυρίδων τοὺς φράτορας ὡς ἀνιέρους, εἰς βυθὸν ᾅδου κατάγει, ὡς μὴ βοῶντας, δόξα τῇ δυνάμει σου Κύριε.

Αἰσχύνθητε ὦ φλάροι, τὰ πράγματα βοᾷ· καὶ γὰρ ὡς κακόδοξοι διώκεσθε αἰσχρῶς· πότε οὖν πότε γνώσεσθε, ὅτι πλανᾶσθε; καὶ μέχρι τίνος τυφλοὶ Τοῖχον ψηλαφᾶτε· ὄντος ἐπαξίως πεπόνθατε.

Θεοτοκίον.

Παρθένε Θεοτόκε, ἀμόλυντε Σκηνή· μολυνθέντα παί-

σμασι, καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου καθαρωτάταις, ῥανίσι, καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω, δόξασοι ἀγνὴ Θεοδόξαστε.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Σὺ Κύριε Χριστὲ, εἰς γῆν ὄντως κατέῤῥαξας, τὴν ἔπαρσιν τῶν Λατίνων, τὴν σεπτὴν Ἐκκλησίαν, ὑψώσας τῇ δυνάμει σου.

Σὺ πάλαι τὸν Κορὲ, ἱερᾶσθαι τολμήσαντα, ἐχάωσας ἀνομοῦντα, καὶ νῦν οὕτω κολάζεις, παπιστὰς τῇ δυνάμει σου.

Σὲ λόγε τοῦ Θεοῦ, κεφαλὴν ἐπιστάμεθα, ἀθάνατον Ἐκκλησίας τῆς σεπτῆς καὶ Καθόλου, τὸν Πάπαν βδελυσσόμενοι.

Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ἄλλος. Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον.

Χρεωστικῶς πιστοὶ ἀνυμνήσωμεν, νῦν τὸν Σπυρίδωνα, τὸν ὀρθρίσαντα ἐπὶ τὸν κίνδυνον τῆς Ἐκκλησίας, κράτιστον δεφένσορα, ἑώας καὶ καύχημα.

Τοὺς ταπεινοὺς ἡμᾶς ἐκ τῆς Θλίψεως, χεὶρ ἐξανέστησε, τοῦ Σπυρίδωνος· καὶ γὰρ ὡς ὄργανον τοῦ Παρακλήτου, ἕτοιμος εὑρίσκεται, ἐχθρῶν πρὸς καθαίρεσιν.

Τὸ δυτικὸν λοιπὸν φρατορίδιον, ὡς ἄλλος Ἄρειος ἀποβέβληται, καὶ ὡς ὢν βέβηλος, ἐν τοῖς βεβήλοις, θέαμα παναίσχιστον, ὁ αἴσχιστος εὕρηται.

Θεοτοκίον.

Ὡς Κιβωτὸς σεμνὴ ἁγιάσματος, καὶ ὡς πυρίμορφος θρόνος ἅγιος, καὶ ὡς παλάτιον ἡγιασμένον, Δέσποινα ἐχώρησας, Θεὸν παντοκράτορα.

Ὠδὴ ς'. Θύσωσοι, μετὰ φωνῆς.

Οὐ Πάπαν, ἀλλὰ Χριστὸν θεμέλιον ἔχουσα, ἡ πανταχοῦ Ἐκκλησία, ἐγκαυχᾶται μόνῳ, ὡς ἀθανάτῳ, καὶ δοξάζει, ὡς λυτρωθεῖσα, τιμίῳ ἐν αἵματι.

Γνώτωσαν, τῶν δυσμενῶν φρατόρων τὰ κόμματα, τὴν τῶν γραικῶν Ἐκκλησίαν, τοῖς Πατέρων ὅροις ἑπομένην, καὶ δικάζει, ὁ τοῦ Ὑψίστου ὀφθαλμὸς ἄνωθεν.

Οὐ λόγοι, σοφιστικοὶ δυνήσονται ἄφρονες, τὴν προφανῶς γενομένην, καθ' ὑμῶν ἐνδίκως θεομηνίαν, ἀνατρέψας· τοῖς γὰρ πράγμασιν οἱ λόγοι ἐλέγχονται.

Ὦ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον· ὅτι Παρθένος ἐν μήτρᾳ τὸν τὰ σύμπαντα περιέχοντα, ἀπειράνδρως συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Ἄλλος. Τὸν Προφήτην Ἰωννᾶν.

Οἱ τυφλοὶ καὶ οἱ χωλοὶ, οἱ τοῦ Πάπα λατρευταὶ, ἀπαράδεκτοί εἰσιν, εἰς τὸν εἶκον τοῦ Θεοῦ, ὡς γέγραπται, καὶ ὡς βδελυγματα ἔξω ῥίπτονται.

Τῆς δεήσεως ἡμῶν, ἐπακούσας ὁ Θεὸς, καθαιρεῖ τὸν

παπισμὸν, πολυτρόπως πολεμῶν, ἀλλὰ καὶ οὕτω μένει ἀσύνετος.

Ἐν Κερκύρᾳ τῇ κλεινῇ, ἐδοξάσθη ἐκ Θεοῦ, Ἐκκλησία ἡ σεπτὴ, ἡ ἁγία Κιβωτὸς, ἡ ἔχουσα τὸ Θεῖον σῶμα, τὸ τοῦ Σπυρίδωνος.

Θεοτοκίον.

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαὶ, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχὴν, χειμάζουσι βοήθησόν μοι ἁγία Δέσποινα.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.

Ἐκκλησία σήμερον, λαμπρῶς ἑόρταζε πᾶσα, τῶν ἐχθρῶν τὴν ἔπαρσιν, κατερραγμένην ὁρῶσα· ἄνωθεν τὸ πῦρ κατέρχεται φλέγον· κάτω δὲ ἡ Γῆ τινάσσεται στρεφομένη, καὶ καλύπτει τοὺς τοῦ ψεύδους, προστάτας χάος, ὡς τὸν Δαθὰν καὶ Ἀβειρών.

Ὁ οἶκος.

Χρεωστικῶς οἱ πιστοὶ πάντες, τὸν μέγαν ἐν ἱεράρχαις ὑμνήσωμεν Σπυρίδωνα· ἡ γὰρ αὐτοῦ παραδόξως ἐν τῇ Κερκύρᾳ γενομένη Θαυματουργία, δόξα τῶν εὐσεβούντων γραικῶν ὑπάρχει καὶ σέμνωμα· διὰ γὰρ ταύτης, σαφῶς, λαμπρῶς, καὶ ἀναμφιβόλως, ἡμεῖς μὲν ἐξ ὧν καὶ μεθ ὧν τυγχάνει διαμένων, εὐσεβοῦντες ἀνεδείχθημεν· οἱ δὲ τοῖς τοῦ Πάπα ληρήμασιν ἑπόμενοι, αἱρετικοίτε καὶ κακόδοξοι, καὶ Θεῷ ἱερᾶσθαι ἀπόστοργοι· δι' ὃ καὶ τοὺς τοῦτο ποιεῖν ἐν τῷ πανσέπτῳ αὐτοῦ Ναῷ διανοηθέντας, ἐν δίκῃ κατεχάωσεν, ὡς ποτὲ ὁ Μωϋσῆς τὸν Δαθὰν καὶ τὸν Ἀβειρών.

Στίχοι

Ὁ θαυματουργὸς, κἂν τέθνηκε Σπυρίδων,
Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.
Ὡς φλογὶ τίσε παπιστὰς τειρομένοις θοὰς ἥκων.

Ὠδὴ ζ'. Ἐν τῇ Καμίνῳ.

Ἔξω οἱ κύνες, ἔξω ὁ Ἰούων ἄζυμα παπιστὴς, ἔνδον εἰς ναὸν τὸν ἅγιον τοῦ Θεοῦ· ἀναμέλπειν γὰρ οὐκ ἔμαθον, εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ὥσπερ Ἠλίας, τῆς εὐσεβείας ζήλῳ σὺ ἐπιστὰς, σκεύη μιαρῶν αἱρέσεων ἐν πυρὶ, παραδόξως κατηνάλωσας μὴ εὐλογοῦντας, ἔνδον τοῦ Ναοῦ τῆς δόξης τὸν Κύριον.

Ἀγαλλομένη, ὡς κεκτημένη, ἡ Κέρκυρα ἀεὶ, πάτερ κατὰ τῶν αἱρέσεων τῶν ἐγγὺς, ἐλατῆρα σε καὶ φύλακα, εὐλογημένος εἰς ἀεὶ βοᾶ, τῆς δόξης ὁ Κύριος.

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένη Θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ἄλλος· Ἡ Κάμινος Σωτὴρ ἐδροσίζετο.

Ὁ τύραννος ἐχθρὸς κατεστρέφετο, οἱ πρότερον δακρύοντες ἔψαλλον, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Κατέσεισε τὸ ἄστυ εἰς ὄλεθρον, Σπυρίδων ὁ Θεόφρων τοῖς ψάλλουσιν, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐσκίρτησαν παμμάκαρ οἱ δοῦλοι σου, ῥυσθέντες

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΥ

παραδόξως, καὶ ἔψαλλον, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Στερέωσον τὸν νοῦν μου τρεπόμενον, τὸν λογισμὸν κλονούμενον ἔδρασον, ἐν ἀσαλεύτῳ με Πέτρᾳ, τῇ σῇ σκέπῃ Μητροπάρθενε.

Ὠδὴ ἡ'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Σκήνωμα Θεοῦ τὸ νοητὸν, τερπνὸς Παράδεισος, Νύμφητε πάγκαλος, ἡ Ἐκκλησία νῦν δέδεικται, καὶ κροτεῖ τὰ νικητήρια, καὶ τοὺς οἰκείους συγκαλεῖ πρὸς εὐφροσύνην λαοὺς, κατηχύνθη Πάπας ὁ Ῥώμης, βοῶσα καὶ πέπτωκεν.

Αἰσχύνθητε πλάνοι δυτικοὶ, καὶ ἐγκαλύφθητε, τρώγλας εἰσδύοντες, τὰ προσώποις ἰδιάζοντα, ἐν Θεότητι συγχέοντες, μὴ αἰδεσθέντες, τὸν ἡμᾶς μαστιγωγοῦντα Χριστὸν, ἐκ Πατρὸς τὸ Πνεῦμα κηρύττειν, ἀνάρχως τὸ ἅγιον.

Σήμερον ἐξ ὕψους ἐνιδὼν Χριστὸς ὁ Κύριος, ἣν περ ἐκτήσατο, τῷ τιμίῳ αὐτοῦ αἵματι Ἐκκλησίαν ἐξεδίκησε· τῶν γὰρ φρατόρων καθαιρεῖ τὰς παρανόμους βουλὰς, μὴ βοώντων, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γεννεαῖς, Παρθένε ἄχραντε, μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτὸς, ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ἄλλος· Ὃν φρίττουσιν Ἄγγελοι.

Τὶ μάτην ἀνόητοι προτείνετε ἡμῖν, τῆς Γῆς τὰ λιρήματα, καὶ σκῆπτρα καὶ ἀρχάς; οὐ ταῦτα βραβεῖα, οὐδὲ μενοῦν μισθοὶ, τοῖς ὀρθῶς ὑμνοῦσι τὸ πνεῦμα εἰς αἰῶνας.

Οὐκ ἔστι συμφώνησις, οὐδέποτε ἡμῖν, καὶ Πάπα τῆς Δύσεως, ἐν οἴκῳ τοῦ Θεοῦ· ὁ μὲν γὰρ ἀζύμως, ἐνζύμως δὲ ἡμεῖς· καὶ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἐξ Υἱοῦ ὑμνοῦμεν.

Ἀπώλετο, πέπτωκε τὸ ῥάντισμα ἰδού· ὁ Πάπας ἀμύητος, καὶ ὅλως βδελυκτός· τοῦτο ἐκ Κερκύρας ὁ Σπυρίδων βοᾷ, τὰς τρεῖς καταδύσεις ποιοῦσι κατὰ λόγον.

Θεοτοκίον.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με πολέμησον ἐχθρούς· τρωθέντα ἀτόποις, ἡδοναῖς τὴν ψυχὴν, ἀγνὴ μὴ παρίδῃς, ἀλλ' οἴκτειρον καὶ σῶσον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

Δεῦτε καθαρᾷ τῇ καρδίᾳ, καὶ νηφαλαίᾳ διανοίᾳ, τῆς τοῦ βασιλέως θυγατρὸς, τῆς Ἐκκλησίας τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν κατανοοῦντες μεγαλύνομεν.

Χαῖρε καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ βασιλέως τοῦ μεγάλου, ἐνστερνιζομένη ἀπαύστως, αὐτοῦ τὴν πίστιν ἀκαινοτόμητον, Υἱοῦ μὲν Πνεῦμα ψάλλουσα, ἐκ τοῦ Υἱοῦ δὲ σὺ οὐδέποτε.

Τὴν ἐξ ὕψους ἄμυναν Σῶτερ, τῇ Ἐκκλησίᾳ σου παρέσχες· Πάπαν γὰρ οὐκ οἶδεν, εἰ μὴ σὲ Χριστὲ μυοῦντα,

ἓν τὸ αἴτιον εἶναι, σοῦ τοῦ Υἱοῦ καὶ Πνεύματος, τὸ ἄναρχόν τε καὶ ἀναίτιον.

Θεοτοκίον.

Δέχου τὰς λιτὰς τοῦ λαοῦ σου, πρὸς τὸν υἱόν σου Θεοτόκε, ἱλεωσαμένη εὐμενῶς, ἡμᾶς κινδύνων καὶ περιστάσεων, ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε· σὺ γὰρ προστάτις καὶ ἐλπὶς ἡμῶν.

Ἄλλος. Τὴν ζωοδόχον Πηγὴν τὴν ἀέννaον.

Ὁ τοὺς ἑώους ἡμᾶς τοῖς ἐκ Δύσεως, ἀναμιχθῆναι κωλύων τοῖς Θαύμασιν· ὁ λαὸν τὸν ἅγιον ὁδηγῶν ἑκάστοτε, εἰς οὐρανὸν ἀπὸ γῆς, Θεῖος Σπυρίδων, φωτοειδὴς ἐν ἡμῖν στύλος γνωρίζεται.

Παλινῳδίαν μετ' αἰσχύνης ἅσαντες οἱ περιόντες τὴν ὕλην μετέθηκαν, σὺν σπουδῇ κραυγάζοντες, τί δὴ φίλοι μέλλετε; καὶ τοὺς λοιποὺς ἀπὸ γῆς πάντας ἐκτρίβει, τὰ τοῦ βομοῦ πάντα ἐκεῖθεν ἀξάρατε.

Ἀνατολῶν ὁ Σπυρίδων ὁρμώμενος, εἰς δὲ τὴν Δύσιν καλῶς μεταθέμενος, ἐκδικεῖ τὰ πάτρια, παπιστῶν τὴν ἔπαρσιν· ἐξ οὐρανοῦ, ὡς ποτὲ τὴν ἑωσφόρου, συγκαταστρέφων, καὶ δείκνυσι παίγνιον.

Θεοτοκίον.

Ῥυπαρωτάτοις ἐν χείλεσι Πάναγνε, ἡ καθαρώτατον λόγον κυήσασα, τὴν εὐχὴν προσάγωσοι, καθαρὸν μ' ἀνάδειξον, παντοδαπῶν μολυσμῶν ὄντα με πλήρη, μεσιτεύοντος τοῦ Θείου Σπυρίδωνος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Συστήματα εὐφραίνονται, τὰ τῶν Συνόδων σήμερον, ὁρῶντα βεβαιωμένους, ὦ ἱεράρχα Σπυρίδων, τοὺς ἱεροὺς αὐτῶν ὅρους· σὺ γὰρ ἐξεδίκησας, τὸ πάνσεπτον ἀξίωμα, διὰ πυρὸς οὐρανίου, αὐτῶν καὶ τῆς ἀληθείας.

Θεοτοκίον.

Τὴν φύσιν ἀνεκαίνισας, φθαρεῖσαν τοῦ προπάτορος, ὑπερφυῶς συλλαβοῦσα, καὶ ἀπειράνδρως τεκοῦσα, τὸν πλάστην πάσης φύσεως, ὑφ' οὗ νικῶντες ὤφθησαν, γρακοὶ λατίνους μέλποντες, σὲ τῆς ἡμῶν σωτηρίας, τὴν ἀπαρχὴν Θεοτόκε.

Εἰς τοὺς αἴνους. Ἦχ. δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Ὦ τῆς ἐξ ὕψους ταχείας βοηθείας· ὅτι ὁ πανύψιστος λόγος καὶ Κύριος, ἡ κεφαλὴ ἡ ἀθάνατος, τῆς Ἐκκλησίας, ἀλλ' οὐχ' ὁ Πάπας ὁ βδελυρώτατος, ταύτης προνοούμενος, φθάνει ῥυόμενος, καθάπερ μήτηρ φιλόστοργος, ἐκ τῶν κινδύνων, καὶ τῶν σκανδάλων τῶν ἐκ τῆς Δύσεως· σοῦ γάρ τὰ τείχη ἐζωγράφισα, ἐν χερσὶ ταῖς ἐμαῖς, πρὸς αὐτήν φησι, καὶ οὐ λήσεσθαι μέλλω, τοῦ λυτροῦσθαί σε τῶν θλίψεων.

Σήμερον χαίρει καὶ Φώτιος ὁ θεῖος, ὁ πρῶτος ἐν πνεύματι, δείξας τὰ σχίσματα, ὡς ἐκ τῆς Ῥώμης ἀρξάμενα· μετὰ δὲ τοῦτον, ὁ τοῦ Πάπα ῥίψας μνημόσυνον, μέλος ὡς ἀνίατον ἐκλογησάμενος; μετὰ Συνόδου ὁ Σέργιος· καὶ γὰρ, ὁρῶσιν, ἀποβληθέντας ἐκ Θεοῦ σήμερον· ὅθεν κατ' ἴχνος ὡς στοιχίσαντες, τῷ λαλοῦντι Χριστῷ τῷ Θεῷ ἡ-

μῶν, ἱκετεύουσι σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Νῦν Φλωρεντία αἰσχύνθητι, καὶ κρύψον, τοῦ ψεύδους τὸ ἄθυρμα, Ὄρον τὸν βέβηλον· καὶ σὺ Κερκύρας τὸ βδέλυγμα, ἀχρειοκόλαξ, καὶ ἀποστάτης Πέτρος Ἀρκούδιος· Λεόντε Ἀλάτιος τῆς Χίου ἔκτωμα, καὶ παπολάτρης γενόμενος· καὶ μετὰ τούτων, οἱ ἐκ τῆς Τάργας καταψευσάμενος ἅπιτε πάντες νῦν εἰς κόρακας· ὁ Σπυρίδων ὑμᾶς ἀπελέγχει τρανῶς, καταστρέφων, ἐκβάλλων, οὓς ὑμεῖς ὑποστηρίζεται. Χαίροις ὦ Μάρκε τὸ θαῦμα τῶν αἰώνων, ὁ μόνος πρὸς ἅπαντας ἀγωνισάμενος, πρὸς ὁμοφύλους, πρὸς φράτορας, καὶ κατ' ἰδίαν αὐτῆς τῆς Δύσεως τὸν Πανύψιστον· βλέπε τοὺς ἀγῶνας σου, καὶ τὰ παλαίσματα, κεκυρωμένα ὡς ἔνθεα, εἰς τοὺς αἰῶνας, καὶ ἐπαγάλλου μετὰ Σπυρίδωνος, μεθ' οὗ συμφώνως καὶ θεσπίσαντες, ὡς διδάσκει Χριστὸς ὁ Θεὸς ἡμῶν, ἱκετεύσατε τοῦτον τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, Ἦχ. πλ. δ'.

Ἱεραρχῶν τὴν καλλονὴν, τὸ τῶν Συνόδων κλέος, τὴν φρίκην τῶν Λατίνων, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον, συνελθόντες, ὦ φιλέορτοι, ἀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες, χαίροις ὁ τῆς Ἑώας φωστὴρ, καὶ βλάστημα τερπνὸν, καὶ καύχημα περίδοξον· χαίροις ὁ καταργήσας τὰς ἐπινοίας τῶν παρανόμων, καὶ βωμὸν τὸν βέβηλον ἐν τῷ σῷ ναῷ μὴ καταδεξάμενος· χαίροις ὁ τὴν ἀγέρωχον ὀφρὺν καταβαλὼν τοῦ Ποντίφικος, τῶν δὲ Γραικῶν ὑψώσας τὴν ὀρθόδοξον Πίστιν ἐν τοῖς πέρασι. Καὶ

νῦν Σπυρίδων πανθαύμαστε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ τοῦ φυλάττεσθαι ἡμῶν ἀεὶ, τὴν εὐσέβειαν ἄτρωτον.

Καὶ νῦν. Ἦχ. δ'.

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ πανάμωμος Παρθένος εἰς κατοικητήριον τοῦ παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ· σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσάγεται· ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ ἄγγελος· χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις· εἰς τὴν λειτουργίαν, ὡς σύνηθες· Ἀπόστολος πρὸς Ῥωμαίους, ἡ ἀρχὴ, Εἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν· τέλος, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Εὐαγγέλιον τὸ τοῦ Χρυσοστόμου· Κοινωνικὸν, ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τῷ συντελεστῇ Θεῷ τῶν καλῶν,
χάρις εἰς τοὺς αἰῶνας.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΤΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα στιχολογεῖν τὸ, Κύριε εἰσάκουσον, τὸ, Θεὸς Κύριος, καὶ τὰ παρόντα Τροπάρια.

Ἦχος δ'.

Τῷ Θεοφόρῳ εὐλαβῶς προσπελάσωμεν, οἱ χαλεπῶν ὑπὸ δεινῶν κατεχόμενοι, ἐν κατανύξει κράζοντες ψυχῆς πρὸς αὐτὸν, Ἅγιε βοήθησον, Ἱεράρχα Σπυρίδων, πρόφθασον καὶ λύτρωσαι λυπηρῶν σοὺς ἱκέτας, ὡς παρρησίαν ἔχων πρὸς Θεὸν· σὲ γὰρ Προστάτην οἱ πάντες κεκτήμεθα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν'. καὶ εὐθὺς ὁ Κανὼν τοῦ Ἁγίου.
Ὠδὴ ἀ'. Ἦχος Πλ. δ'. Ἁρματηλάτην Φαραώ.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπὸ χειλέων ἐναγῶν προσάδω σοι, ὕμνον Σπυρίδων

σοφέ· ἀλλ' εὐμενῶς τοῦτον, Ἱεράρχα πρόσδεξε, καὶ τὸν Χριστὸν δυσώπησον, συμπαθέστατε Πάτερ, τοῦ οἰκτειρῆσαί με τάχιον· βέβλημαι γὰρ ὅλος τοῖς πάθεσιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀγαλλομένη ἡ Κερκύρα ἅπασα, τὴν σὴν φαιδρὰν ἑορτὴν, ἅγιε ἐτησίως, Πάτερ παμμακάριστε, Σπυρίδων ἁγιώτατε, ἣν ἀεὶ περιέπειν, μὴ διαλείπῃς θεσπέσιε, πρέσβυν σε πλουτοῦσαν ἀκοίμητον.

Δόξα,

Θεόθεν δῶρον τὸ σὸν σκῆνος ἔνδοξε, ὤρθη Σπυρίδων ἡμῖν, ὃ προφανῶς βρύει, ἰαμάτων χάριτας, καὶ παύει τὰ δυσίατα, τῶν ψυχῶν ἡμῶν πάθη, Θαυματουργὲ Ἱερώτατε, ὅθεν εὐφροσύνως τιμῶμέν σε.

Καὶ νῦν. Θεοτοκίον.

Λόγον μοι Λόγε τοῦ Θεοῦ πρυτάνευσον, ὅπως τὸ χαῖρε τῇ σῇ, μητρανάνδρῳ λέξῳ, χαῖρε ὅλβος ἄσυλος, χαῖρε ἁγνείας σκήνωμα· χαῖρε ῥάβδος ἡ θεία, τοῦ Ἀαρὼν ἡ βλαστήσασα, χαῖρε μυριώνυμε Δέσποινα.

Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκετεύω Τρισμάκαρ, αἱρετικῶν τάραχον, καὶ τῆς ἀσεβείας τὴν ζάλην, διασκεδάσαι σε· σὺ γὰρ θεόληπτε, τὸν ἀρχηγὸν τῆς γαλήνης, προσκυνεῖν ἐδίδαξας Τριάδα ἔνθεον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπὶ σὲ καταφεύγω, τὸν συμπαθῆ Ὅσιον, ὅπως σῇ

πρεσβείᾳ Σπυρίδων, ῥυσθῶ ὁ δείλαιος, τῆς αἰωνίου ποινῆς, καὶ ἀφορήτου αἰσχύνης, τύχω δὲ λαμπρότητος θείας καὶ χάριτος.

Δόξα,

Ἀληθῶς σὺ ἐδείχθης, Ἀρχιερεὺς ὅσιος, ἄκακος ἀμίαντος Πάτερ, Χριστοῦ ἑπόμενος, διδασκαλίαις ἀεὶ, καὶ νῦν αὐλίζῃ θεόφρων, ἔνθα φῶς ἀνέσπερον ὡς Ἱερώτατος.

Καὶ νῦν. Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα, ὅπως ἐπιγνούς τὸν Δεσπότην, ἔργοις τιμήσω καλοῖς· ἐγὼ δὲ πάθεσι τὴν δωρεὰν ἀτιμάσας, τὸν δοτῆρα ὕβρισα Δέσποινα σῶσόν με.

Διάσωσον Σπυρίδων μάκαρ, κινδύνων τοὺς σοὺς ἱκέτας· ὅτι πάντες ἡμεῖς ἐν σοὶ θαῤῥοῦντες προστρέχομεν, φρουρὸν καὶ προστάτην σε κεκτημένοι.

Ἐπίβλεψον εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ Ἱερέως καὶ Ἐκφώνησις. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός. Καὶ λέγομεν τὸ παρὸν Τροπάριον, Ἦχος β'. Πρεσβεία θερμή.

Πρεσβείαν θερμὴν, καὶ δέησιν ἱκέσιον, προσάγαγε νῦν, Σπυρίδων Ἱερότατε, τῷ Θεῷ, καὶ αἴτησαι, τοῖς πιστοῖς δωρήσασθαι ἄφεσιν, καὶ ἐκ κινδύνων ῥύσασθαι ἡμᾶς, τῆς νήσου Κερκύρας ὁ ὑπέρμαχος.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄλλην ἡμεῖς κιβωτὸν ἁγιάσματος, τὴν τιμίαν, θήκην τοῦ Λειψάνου σου, Πάτερ σοφὲ, ἔχομεν πιστῶς· ἣν περικυκλοῦντες, περιδεῶς ἀτενίζομεν, τῷ θείῳ σου Λειψάνῳ, Ἱεράρχα τιμῶντες, τὸν ἐνάρετον βίον σου ἔνδοξε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θαῦμα σὺ εἶ, πάνσοφε ἡμῖν θεώμενος· μετὰ πότμον· ἄφθαρτον γὰρ ἔμεινε, τὸ θεῖον Σκῆνος Πάτερ τὸ σόν, δόξα τῷ Κυρίῳ, τῷ οὕτως σὲ θαυμαστώσαντι· ἀλλὰ μὴ διαλείπῃς, τῷ Σωτῆρι πρεσβεύειν, ὑπὲρ πάντων τῶν πίστει ὑμνούντων σε.

Δόξα,

Ἐξ ἀναγκῶν, καὶ πάσης ἄλλης κακώσεως, τὴν σὴν ποίμνην, ῥῦσαι κινδυνεύουσαν, Σπυρίδων Πάτερ θαυματουργὲ, τῶν πιστῶν προστάτα· διὸ μὴ παύσῃ δεόμενος, Χριστοῦ τοῦ φιλανθρώπου, οἰκτειρῆσαι καὶ σῶσαι, τῇ πρεσβείᾳ σου πάντας ἐκ θλίψεως.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλος ἐσμὸς, ἁμαρτιῶν περικείμενος, δεδεμένος, ὅλος πλημμελήμασι, καὶ δουλωθεὶς ὅλος τῷ ἐχθρῷ, ὅλος προαιρέσει, ὑπέκυψα τῷ ἀλάστορι· οὐκ ἔχω πλὴν σου ἄλλην, προσδοκίαν Παρθένε, σπεῦσον ῥῦσαί με ὅπως δοξάζω σε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐλλαμπόμενος Πάτερ, αἴγλῃ τῇ τοῦ Πνεύματος πα-

ΕΝΟΡΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΛΛΙΤΕΧΝΩΝ ΕΚΔΟΤΟΡΕΣ ΠΑΠΑΔΗΜΑ

σιν ἀπήστραψας, Θεολόγῳ γλώττῃ, τῆς Τριάδος τὸ φέγγος τὸ ἄχραντον, Θεῖε Ἱεράρχα, πιστῶν τὸ κλέος καὶ ἡ δόξα, τῆς Συνόδου τῆς πρώτης ὑπέρμαχε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νοερῶς σὺν Ἀγγέλοις, νῦν συναυλιζόμενος, Χριστὸν δυσώπησον, τῶν παθῶν ρυσθῆναι, καὶ κινδύνων τοὺς σὲ μακαρίζοντας, λειτουργὲ ὑψίστου, Σπυρίδων Πάτερ Θεοφόρε, ὡς λαχὼν παρρησίας πρὸς Κύριον.

Δόξα,

Ἐν τῇ Θείᾳ σου μνήμῃ, Ἄγγελοι καὶ Δίκαιοι πανηγυρίζουσιν, ὡς τῶν πρωτοτόκων, Ἐκκλησίαν φαιδρύνας σαῖς πράξεσι, σύσκηνον λαβόντες, τὴν σὴν ψυχὴν Σπυρίδων μάκαρ, τὸ δὲ σῶμα ἡμῖν τεθησαύρισται.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἀχώρητον Λόγον, ἄνθρωπον γενόμενον, ἐν σοὶ ἐχώρησας, ὃν ἀεὶ δυσώπει, ὡς υἱόν σου Παρθένε καὶ Κύριον, πάσης ἐναντίας, ἐπιβουλῆς νῦν ἀπαλλάξαι, τοὺς σοὺς δούλους ἀγνὴ Θεονύμφευτε.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν δέησιν ἐκτενῶς πρὸς Κύριον, μὴ ἐλλείπῃς Ἱεράρχα προσάγειν, ὑπὲρ ἡμῶν, τῶν τιμώντων ἐκ πόθου, τὴν σὴν σεβάσμιον μνήμην ἀοίδιμε, Σπυρίδων καύχημα πιστῶν, Τριμυθοῦντος Ποιμὴν ὁ πανάριστος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παράκλησιν οἱ πιστοὶ εὐράμενοι, τὴν Σορόν τὴν ἱερὰν σοῦ Λειψάνου, πάντες θερμῶς, προσερχόμεθα ταύτῃ, καὶ σὲ λιτάζοντες πόθῳ κραυγάζομεν, Σπυρίδων, χάρις τῷ Θεῷ, τῷ Προστάτην ἡμῖν σὲ δωρήσαντι.

Δόξα,

Προστάτην μου τῆς ζωῆς ὡς εὗροιμι, θεοφόρε Ἱεράρχα Κυρίου, τῶν δυσχερῶν, διαλύοντα νέφος, καὶ ψυχικὴν μοι γαλήνην δωρούμενον, πρεσβείαις σου ταῖς ἱεραῖς, Σπυρίδων Πατέρων ἀγλάϊσμα.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα· ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Διάσωσον Σπυρίδων μάκαρ, κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πάντες ἡμεῖς ἐν σοὶ θαρροῦντες προστρέχομεν, φρουρὸν καὶ προστάτην σε κεκτημένοι.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις παρὰ τοῦ Ἱερέως· καὶ μετὰ τὴν Ἐκφώνησιν,
τὸ παρὸν Κοντάκιον,
Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Προστασία εἶ τῶν εὐσεβῶν πάντων ἄμαχος, ἱκεσία

πρὸς τὸν Ποιητὴν ἀκαταίσχυντος· μὴ παρίδῃς οὖν εὐλαβῶν ἱκέσιον φωνήν· ἀλλὰ φάνηθι ὡς συμπαθὴς, Σπυρίδων Πάτερ ἀρωγὸς, τοῖς θερμῶς σοι κραυγάζουσι· τάχυνον δὴ παμμάκαρ, καὶ σπεῦσον Χριστῷ πρεσβεῦσαι, τοῦ οἰκτειρῆσαι νῦν ἡμᾶς, Θεοφόρε τοὺς τιμῶντάς σε.

Οἱ Ἀναβαθμοὶ, τὸ ά. Ἀντίφωνον τοῦ δ'. Ἦχου
Προκείμενον· Τὸ στόμα μου λαλήσει σοφίαν.
Στιχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Τοῦ Κυρίου δεηθῶμεν, Ἐκφώνησις, Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ Ἁγίοις ἐπαναπαύῃ. Τὸ, Πάσα πνοή. Εἶτα, Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Εὐαγγ. κατὰ Ἰωάννην.

Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας.
Δόξα, Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις,
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.
Στίχος. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.
Καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμελον. Ἦχος, Πλ. β'.

Ὅτε καιρὸς τῆς ἀπὸ γῆς ἐκδημίας σου, τότε τὴν Ἱεράν σου ψυχὴν θεῖοι Νόες ἀνελάμβανον, Ἱεράρχα ἀοίδιμε, καὶ πρὸς οὐρανίους μονὰς, ἔνθα Ἱεραρχῶν ἁπάντων ὁ σύλλογος, γηθοσύνως ἐναπέθεντο· τὸ δὲ σεβάσμιον σκηνός σου Τριὰς ἡ μεγαλουργὸς ἀφθαρτίσασα, πηγὴν θαυμάτων ἀνέδειξε, καὶ πάντων Ὀρθοδόξων παράκλησιν· διὸ καὶ ἡμεῖς συνελθόντες, ἀγιώτατε Πάτερ, Σπυρίδων σοφὲ, πόθῳ καὶ δέει τὴν θείαν περικυκλοῦμεν σου Λάρνακα, καὶ τὸ ἱερὸν καὶ ἅγιον Σῶμά σου περιχαρῶς ἀσπαζόμενοι, ῥῶσιν ψυχῶν τε καὶ σωμάτων λαμβάνομεν, μεγαλύνοντες τὸν σὲ δοξάσαντα Κύριον, ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς, Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε ἐλέησον, ιβ'.
Ἐκφώνησις. Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ τὰ λοιπά.
Ὠδὴ, ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πλήσον χαρᾶς καὶ εὐφροσύνης, τοὺς τῷ θείῳ νῦν Ναῷ σου προσιόντας, καὶ Χριστῷ τῷ Θεῷ, συμφώνως μελῳδοῦντας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πρόστηθι πάντων Ἱεράρχα, τῶν ἐχόντων σε φρουρὸν ἀεὶ καὶ ῥύστην, καὶ Χριστῷ τῷ Θεῷ, ἀπαύστως μελῳδούντων, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Δόξα,

Μή με ἐάσῃς Ἱεράρχα, ἀπροστάτευτον βοῶσι ἐκ καρδίας· ἀλλὰ ῥύσαιο νῦν, ἐκ πονηρῶν ἀνθρώπων, τὰς μηχανὰς καὶ ἐνέδρα, τούτων, Πάτερ διαλύων.

Καὶ νῦν. Θεοτοκίον.

Σκέπη γενοῦ καὶ προστασία, καὶ ἀντίληψις καὶ καύχημα Παρθένε, γυμνωθέντι μοι νῦν, ἀπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων.

Ὠδὴ η'. Τὸν ἐν ὄρει Ἁγίῳ δοξασθέντα.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν τιμίαν σου Λάρνακα κυκλοῦντες, εὐωδίας πληρούμεθα ἀῤῥήτου, ὅθεν πιστῶς, βοῶμέν σοι Θεόληπτε, πλήρωσον εὐχάς τε, θερμὰς καὶ ἱκεσίας, τῶν σὲ ἀνευφημούντων.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μὴ παρίδῃς, Σπυρίδωνι ἱκεσίαν, τοῦ σοῦ δούλου, θερμῶς σοι ἀνακράζω· ἀλλ' ἐκτενῶς τὸν Κύριον ἱκέτευε, δοῦναί μοι τὴν λύσιν, τῶν πλημμελημάτων, ὧν ἔπραξα ὁ τάλας.

Δόξα,

Ἴδου Πάτερ, οἱ πάντες ὡς λιμένα, σὲ εὑρόντες, σωτήριον ἐν ζάλαις, ἀπὸ ψυχῆς, βοῶμεν καὶ νῦν πρόφθασον, φάνηθι προστάτης, πάντων Ὀρθοδόξων, ἀντίπαλος βαρβάρων.

Καὶ νῦν. Θεοτοκίον.

Περιστάσεις, καὶ θλίψεις καὶ ἀνάγκαι, εὕροσάν με Ἀγνὴ, καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί μ᾽, πάντοθεν ἐκύκλωσαν· ἀλλὰ πρόστηθί μοι, καὶ ἀντιλαβοῦ μου, τῇ κραταιᾷ σου σκέπῃ.

Ὠδὴ, θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πληροῦμαι εὐφροσύνης πνευματικῆς, θυμηδίας ἀρρήτου μακάριε, τὴν σὴν σεμνὴν, ἀναλογιζόμενος βιοτὴν, τὰς ἀρετὰς τὰ θαύματα, καὶ τὴν θείαν χάριν τὴν πρὸς Χριστοῦ, δοθεῖσάν σοι θεόφρων, Σπυρίδων Ἱεράρχα· διὸ σὺν πόθῳ μακαρίζω σε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἔνι ἀριθμήσασθαι δυνατὸν, τὰ πολλά σου καὶ μέγιστα θαύματα, Πάτερ σοφὲ, ἅπερ ἡ τιμία σου προφανῶς, θαυματοφόρος, Ἅγιε, Λάρναξ τοῖς ἐν πίστει εἰλικρινῶς, ἐκβλύζει προσιοῦσιν, ὡς νάματα, Σπυρίδων· διὸ σε πάντες μακαρίζομεν.

Δόξα,

Τὴν δέησίν μου ταύτην τὴν πενιχρὰν, καὶ παράκλησιν Πάτερ τρισόλβιε, ὡς συμπαθὴς, δέξαι ἐνεχθεῖσαν πανευλαβῶς, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ ἔχων πρὸς τὸν Θεὸν, Σπυρίδων Ἱεράρχα, πολλὴν τὴν παρρησίαν, τῶν Ὀρθοδόξων ὁ ὑπέρμαχος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν δέησίν μου δέξαι τὴν πενιχρὰν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμὸν, ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς, Δεσπότου Θεοῦ Μήτηρ· εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Καὶ εὐθὺς συνάπτομεν τὰ τῆς Θεοτόκου Μεγαλυνάρια.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον· τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ Κόσμου ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ Θεοτόκῳ χαρμονικῶς· μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Πλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλήν σου ἄλλην, οὐ γινώσκω καταφυγήν, ὁ ἐν ἁμαρτίαις, παντοίαις πεπλησμένος· ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

Καὶ τοῦ Ἁγίου τὰ ἑφεξῆς, ληφθέντα ἐκ τῆς αὐτοῦ Φυλλάδος, ἐκτὸς τοῦ τελευταίου, ὅπερ ἐστὶ τοῦ Συγγραφέως τοῦδε τοῦ Κανόνος.

Χαίροις Τριμυθοῦντος ἡ καλλονή. Χαίροις Κερκυραίων ὁ σοφώτατος Ἰατρός. Χαίροις τῆς Τριάδος ὁ θεῖος μυστολέκτης· Πατέρων μέγα κλέος Σπυρίδων Ἅγιε.

Τῶν θαυμάτων πέλαγος γεγονώς, πάσης τρικυμίας, ἐν θαλάσσῃ τε καὶ ἐν γῇ· μέγιστε Σπυρίδων, διάσωζε εὐχαῖς σου, τοὺς ἐπικαλουμένους μέγα σὸν ὄνομα.

Αἰνέσωμεν πάντες χαρμονικῶς, τὸν Θερμὸν Προστάτην, καὶ ὑπέρμαχον κραταιόν, τὸν σώσαντα Νῆσον ἀλώσεως βαρβάρων, Σπυρίδωνα Κερκύρας μέγιστον καύχημα.

Ἀξίως σὲ μέλποντες τὸν λαμπρὸν Κερκύρας φωστῆρα, καὶ εὐήκοον βοηθὸν, καὶ σὲ δυσωποῦντες οὐ παύσομεν ἀφθόνως, ἵνα ταῖς σαῖς πρεσβείαις ῥυσθῶμεν βλάψεων.

Τίς ἐξαριθμήσει σου τὴν πληθύν, τῶν Θαυμάτων Μάκαρ; ἐξανέστησας γάρ νεκρούς· λοίμην, πεῖναν, νόσους, καὶ δυσμενεῖς καθεῖλες, καὶ ἐκ χειρῶν ἀνόμων ἡμᾶς ἐξήγαγες.

Χαίροις Ὀρθοδόξων προασπιστὰ, κακοδόξων μάστιξ, Τριμυθοῦντος κλεινὲ Ποιμήν, Κερκύρας Προστάτης, πατήρ τε καὶ Ἀκέστωρ, ἐμοῦ δὲ θυμηδία, Σπυρίδων Ἅγιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον. Δόξα, καὶ νῦν, Παναγία Τριάς. Πάτερ ἡμῶν.
Ὁ Ἱερεύς· Ὅτι σοῦ. Τὰ Τροπάρια, Ἦχος, Πλ β'.
Ἐλέησον ἡμᾶς Κύριε. Δόξα, Κύριε ἐλέησον ἡμᾶς,

Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην.
Αἴτησις παρὰ τοῦ Ἱερέως, ὡς δεδήλωται.

Ἐπάκουσον ἡμῶν ὁ Θεός. Καὶ μετὰ τὴν Ἐκφώνησιν ψάλλομεν τὰ παρόντα Ἐξαποστειλάρια.

Ἀπόστολοι ἐκ περάτων.

Τῶν Κερκυραίων τὰ πλήθη, συναθροισθέντα ἐνθάδε, ἐν Ἱεράρχου Τεμένει, Σπυρίδωνος νῦν σκιρτάτω, καὶ ἀσπαζέσθω τὸ θεῖον, περιχαρῶς τούτου Σκῆνος.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΕΠΙΜΕΛΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Ὦ τῆς Κερκύρας Προστάτης, τῆς Τριμυθοῦντος ὁ Ποιμήν, αἱρετιζόντων ἡ μάστιξ, Σπυρίδων φίλε Κυρίου, μὴ διαλείπῃς πρεσβεύειν, ὑπὲρ ἡμῶν Ἱεράρχα.

Καὶ σὲ προβάλλομεν πρέσβυν, πρὸς τὸν οἰκτίρμονα Θεόν, ἵν' ὡς φιλάνθρωπος λύσιν, παράσχῃ κἀμοὶ πταισμάτων· παρακαλῶ οὖν σε Πάτερ, Σπυρίδων μὴ ἐπιλάθῃ.

Ἱερουργὲ Ἱεράρχα, καὶ Ἁγιώτατε Πάτερ, Ἀρχιερέων ἡ δόξα, τὸ κλέος τῶν Ὀρθοδόξων, παράδοξόν σου τὸ βαῦμα, πῶς καὶ νεκρὸς, ὡς ζῶν φαίνῃ!

Εἶτα γίνεται ἀπόλυσις.

ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΝΕΚΡΟΖΩΝΤΑ ΕΝ ΚΕΡΚΥΡΑ

ΣΠΥΡΙΔΩΝΑ

Τροπάριον.

Τὸν ζωοχέα μελῳδήσωμεν Σπυρίδωνα,
Τὸν ἐν Κερκύρᾳ, ζῶντα σώματι ὑπάρχοντα,
Ὃς ἰσχὺν τοῦ θανάτου τοῦ σώματος ἀποβάλλει,
Ἀλλ' ὡς ἔχοντα τὸ σῶμα θεοδόξαστον,
Ὑμνῳδίαις οὐρανίαις ὑπαντήσωμεν,
Ἀνακράζοντες, χαίροις, σῶμα ἀείζωον.

Ἄνθρωπος ἀγγελάρχης, ἀπεστάλης Σπυρίδων, σπερεῖν σὸν θεοδόχον γῇ σῶμα· καὶ σὺν τῇ ἀκηράτῳ θανῇ, ἀθανατούμενόν σε θεωρῶν Ὅσιε, ἐξίστατο, καὶ ἵστατο πᾶς μέρωψ, ἐκφωνῶν τοιαῦτα·

Χαίροις ἐν ᾧ ἡ φθορὰ ἐτράπη.
Χαίροις ἐξ οὗ ἡ ζωὴ ηὐγάσθη.
Χαίροις ὁ μὴ ἔχων χρωτὸς τὴν ἀλλοίωσιν.
Χαίροις τῶν πνευμάτων ὁ ἔχων ὁμοίωσιν.
Χαίροις χρᾶμα δυσκατάληπτον ἀνθρωπίνοις λογισμοῖς.
Χαίροις πνεῦμα δυσαπόβλητον ἐν ἀνθρώπων σεβασμοῖς.
Χαίροις ὅτι τυγχάνεις τῆς Τριάδος οἰκία.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗ

Χαίροις ὅτι ἐδέξω πᾶσαν χάριν ἁγίαν.
Χαίροις φωστὴρ, φωτίζων τὸν Ἥλιον.
Χαίροις λαμπτὴρ τῆς κόσμου ἐμφαύσεως.
Χαίροις δι' οὗ εὐλογεῖται ἡ φύσις.
Χαίροις δι' οὗ ἐκλαμπροῦται ἡ πίστις.
Χαίροις σῶμα ἀείζωον.

Βλέπουσα ἡ Κερκύρα, ἑαυτὴν ἐν ὑγείᾳ, φησὶ τῇ φυσικῇ Θαρσαλέως· τὸ πανθαύμαστόν μου θεωρῶ, δυσπαράδακτόν σου τοῖς θεσμοῖς πέφυκεν· ἀφθόρου γὰρ χρωτὸς τὴν σύστασιν, οὐ βλέπεις ὧδε;

Ἄλλος Ἄγγελος.

Γῆν ἐβάδισε θεῖαν, καὶ εἰς πόλον ἀνῆλθε, κατέασεν ἐφ' ἡμᾶς δὲ τὸ σῶμα· ὃ λαμβάνον τιμὰς, δηλοῖ πῶς ἐστι δειχθῆναι τὸν βροτὸν ἔνθεον, πρὸς ὃν βοῶμεν ἅπαντες, ἐν φόβῳ πλὴν ἐνθέως οὕτως·

Χαίροις Θεοῦ τῶν θαυμάτων σῆμα.
Χαίροις ἐσθλῶν οὐρανίων βῆμα.
Χαίροις Ἀναστάσεως ἡμῖν τὸ τεκμήριον.
Χαίροις τῶν θαυμάτων Θεοῦ τὸ μαρτύριον.
Χαίροις σῶμα θεοδόξαστον, δι' οὗ ἀνέβη ἡ χαρά.
Χαίροις τίμημα τῆς χάριτος, δι' οὗ πέπτωκε φθορά.
Χαίροις πνευματοφόρον πολυτίμητον γέρας.
Χαίροις τὸ τῶν θαυμάτων εὐζωόβρυτον τέρας.
Χαίροις καὶ γὰρ σοφίαν ἐλάμπρυνας.
Χαίροις καὶ γὰρ καρδίαν ἐκαίνισας.
Χαίροις ἐν σοὶ, ὁμοῦ ἔχων στοιχεῖα.
Χαίροις δι' οὗ, κατεπώθη μωρία.
Χαίροις σῶμα ἀείζωον.

Δεῦτε ἐν τῇ Κερκύρᾳ, θεοσύλλεκτα στίφη· πρὸς θέασιν σώματος ἀκηράτου· ὃ ἀπέβαλε στόλον ἀγαρηνῶν, καὶ τὴν

νῆσον ἔδειξε σωζομένην ἅπασι, καὶ στράτευμα τῆς Θρᾴκης συνετρίψατο, ἐν τῷ κόλπῳ πόντου.

Ἄλλος Ἄγγελος.

Ἔθετο ἐν τῷ ὄρει, Μωϋσῆς μέγαν ὄφιν, ἀνέδραμον πρὸς ὃν δεδηγμένοι· ὁ γὰρ ὄφις ὑγείαν διδοὺς, ἀληθῶς ζωόφιν ἐφορῶ χάριτος, Σπυρίδωνα, ᾧ ἅσμασι νῦν ᾄδω, ὡς πρὸς εὐεργέτην·

Χαίροις θηρὸς μετουσίαν φέρων.
Χαίροις πτωχῶν ἀρρωστίαν αἴρων.
Χαίροις ὁ θηρὸς μεταλλάξας μισάνθρωπον.
Χαίροις ὁ βροτοῖς ἀναστὰς τὸ φιλάνθρωπον.
Χαίροις νόσημα λεπρόσαρκον, βασιλέως ἐκβαλών.
Χαίροις ἔρισμα πανθαύμαστον, τῶν θαυμάτων τῶν πολλῶν.
Χαίροις ὁ εὐτελείας τὴν ἰσχὺν ἀναδείξας.
Χαίροις ὁ τῆς Τριάδος τὸ τρισσὸν προκηρύξας.
Χαίροις σοφῶν συγχέων τὸ σύστημα.
Χαίροις μωρᾶς σοφίας τὸ σύγχυσμα.
Χαίροις ἡμῶν πρὸς Θεοῦ μεσιτεία.
Χαίροις τῆς γῆς ἡμῶν εὐτυχία.
Χαίροις σῶμα ἀείζωον.

Ζήσας ἐν τῇ πενίᾳ, καὶ τοῦ πένητος θέλων, τὴν πενίαν ταχέως διῶξαι· ὅθεν ὄφιν εἰς χρυσοῦν ἀγαγὼν, καὶ τροφόπτωχος ἀναδειχθεὶς ἅγιε· λαβὼν δέ σου τὸ δώρημα, εὐχάριστος ὁ πένης, ἔφη.

Ἄλλος Ἄγγελος.

Τροπάριον. Τὸν ζωοχέα μελῳδήσωμεν Σπυρίδωνα.

Ἠκουσταί μοι, Σπυρίδων, δίκην οἴκου Τριάδος, τιμᾶσθαι παρὰ πᾶσιν ἀνθρώποις· καταλύσας μὲν παρ'

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗ

ἐκείνῳ, Πατὴρ, ὁ Λόγος καὶ Πνεῦμα Ἅγιον, αὐτὸς Θεὸν κηρύξας σαρκωθέντα, δι' ἡμῶν βοώντων·

Χαίροις Θεοῦ ἀγνοτάτου θύτης.
Χαίροις Χριστοῦ τῶν ῥημάτων μύστης.
Χαίροις ὡς τὰ ῥεῖθρα ποταμοῦ ἀνεχέτισας.
Χαίροις ὡς τὰ κλεῖθρα τῆς ἀβύσσου ἐνίκησας.
Χαίροις ὅτι κατεπάτησας τῶν ὀφέων κεφαλήν.
Χαίροις ὅτι κατεδίωξας τῶν εἰδώλων τὴν ἀχλύν.
Χαίροις τῶν Κερκυραίων πολυδόξαστον σῶμα.
Χαίροις τὸ τῶν Κυπραίων ἁγιώτατον θρέμμα.
Χαίροις λαμπρὸν τῆς φύσεως βλάστημα.
Χαίροις σφοδρὸν ἐγέρσεως γνώρισμα.
Χαίροις δι' οὗ κατεπώθη κακία.
Χαίροις δι' οὗ πέπτωκεν αἵρεσία.
Χαίροις σῶμα ἀείζωον.

Θαυματέμφορα μέγαν, θεωρήσαντες πάντες, συνόδῳ οἱ φιλόσοφοι θάμβει· τῇ χειρὶ γὰρ ἐνσφίγξας πηλὸν, δι' αὐτοῦ ἐδήλοις τὸ Ἴριδσον ἅπασι· καὶ λήψαντες τὸν ἄληπτον, ἐδόξασαν αὐτὸν βοῶντες.

Ἄλλος Ἄγγελος.

Ἴδωμεν τῶν θαυμάτων, ποταμόν σε Σπυρίδων, τὸν ῥέοντα ὑμῖν ἀεὶ ταῦτα· ὅθεν ἔστη πάλαι ποταμὸς, ὅτε σὴν ἀπείληφεν αὐδήν· ἔδραμε τὸ θαῦμα πανταχόσε, τοῦ δοξάσαι τὸν θαυματουργοῦντα·

Χαίροις ὁ κόσμου ἐάσας δόξαν.
Χαίροις μισθὸν οὐρανοῦ ὁ λήψας.
Χαίροις ὃς ἀπάτην ἐν θαύματι ἔσβεσας.
Χαίροις ὃς Τριάδι πιστεύειν ἐφώτισας.
Χαίροις πρόβατον φιλάνθρωπον τῆς ἀγέλης τοῦ Θεοῦ.
Χαίροις ὅτι τὸ φιλεύσπλαγχνον οὐ κινεῖς τοῦ ποιητοῦ.

Χαίροις ὁ τῶν πενήτων ζωοτρόφε Σπυρίδων.
Χαίροις ὀρφανοφύλαξ, καὶ οἰκία παροίκων.
Χαίροις Μωσῆ, ὃς δύναμιν εἴληφας.
Χαίροις σοφῶν, μωρίαν ὃς ἤμβλυνας.
Χαίροις ὃς γῆν, ὁμοιοῖς Παραδείσῳ.
Χαίροις ἐχθροὺς, κατεῶν ἐν ἀβύσσῳ.
Χαίροις σῶμα ἀείζωον.

Καταπέτασμα τρίτον, κέκτηται ὁ ναός σου, κιβωτόν σου τὴν λάρνακα φέρον· καὶ λυχνίαν νέμεισε φωτὸς, μάννα δέ σου τὸ σῶμα ἡμῖν νέμεται, πλαξὶ δὲ σῆς καρδίας καθορῶμεν, γεγραμμένον οὕτως.

Ἄλλος Ἄγγελος.

Λύεις φύσεως ὅρους, τῇ νεκρᾷ φωνὴν στέλλων ἀπέδωκας δὲ πνεῦμα τῷ βρέφει· καὶ γὰρ εἴληφε τέκνον ἐκ σοῦ, μήτηρ θεωροῦσά σου ἰσχὺν ἔφριξε· θανοῦσα δὲ ἀνέστη, αὐτίκα πρὸς σὲ ἐκβοῶσα·

Χαίροις ἀνάῤῥυσις τῶν νοσούντων.
Χαίροις ἀνάβλεψις μὴ ὁρώντων.
Χαίροις ὃς ἐφάνης τῆς πλάνης κατάπτωσις.
Χαίροις τῶν πνευμάτων δικαία ἀνόρθωσις.
Χαίροις θάνατον μιμούμενος, καὶ αὐτὸν ἐκθανατῶν.
Χαίροις πνεῦμα χαριτόβρυτον τοῖς ἀνθρώποις βοηθόν.
Χαίροις ἄσειστε κίων ὁ κρατῶν τοὺς ἐν πίστει.
Χαίροις φῶς τὸ σκοτίζον αἱρεσίαν κακίστην.
Χαίροις Μωσῆ θαυμάτων διάδοχε.
Χαίροις ζωῆς τῆς θείας εὐπάροχε.
Χαίροις ὁ σχὼν τοῦ Θεοῦ μεγαλεῖον.
Χαίροις ὁ δοὺς πᾶσι πνεῦμα τὸ θεῖον.
Χαίροις σῶμα ἀείζωον.

Μέτοχος εἶ Ἀγγέλων, ἐν τῇ γῇ ὦ Σπυρίδων, μετέ-

ΕΘΝΙΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΡΗΣ ΠΑΠΑΔΑΚΗΣ

στης ἐκ τῆς γῆς εἰς τὰ ἄνω· ἐπεδόθης εἰς χεῖρας Θεοῦ, ἀλλ' ἐγνώσθης ὄντως, καὶ βροτὸς τέλειος, διόπερ ἐξεπλάγησαν οἱ Ἄγγελοι βοῶντες, οὕτως.

Ἄλλος Ἄγγελος.

Τροπάριον. Τὸν ζωοχέα μελῳδήσωμεν Σπυρίδωνα.

Νέον τῶν ἱερέων, θίασον καθορᾶσθαι, καλεῖ πρὸς ἑαυτὸν ὁ Σπυρίδων· ἐξ Ἀγγέλων λειτουργεῖσθαι βροτὸν, λειτουργοῦντα Τριάδι ἄρτῳ ἐν βήματι· τὸ δὲ γὰρ θαῦμα βλέψαντες οἱ Ἄγγελοι, αὐτὸν ἀνύμνουν·

Χαίροις τὸ ἄσμα τὸ τῶν Ἀγγέλων.
Χαίροις τὸ ψάλμα τῶν Ἀρχαγγέλων.
Χαίροις ὅτι λάμψεως πάντας ἐπλούτισας.
Χαίροις ὁ θανέμπνους, ὃς πλείστους ἐζώωσας.
Χαίροις σκεῦος τὸ τῆς Χάριτος, ἐν ᾧ ἵσταται σωτήρ.
Χαίροις κρᾶμα τὸ ἀκήρατον, καὶ τῶν ὀρφανῶν πατήρ.
Χαίροις ὁ κλεπτοφόροις βοηθῶν σε κλοπεύειν.
Χαίροις ὁ ἀσπλαγχνοῦντας ὁδηγῶν εὐσπλαγχνίᾳ.
Χαίροις βροτὸς τοῦ χόρτου ἐντρύφημα.
Χαίροις θνητῶν ἁγίων ὑπόδειγμα.
Χαίροις στοργὴ τῶν βροτῶν μικροκόσμων.
Χαίροις πηγὴ πᾶσι χάριν κινοῦσα.
Χαίροις σῶμα ἀείζωον.

Ξύλου γνώσεως πάλαι, ἐφαψάμενος τότε, Ἀδὰμ ὄντος ἐν τῷ Παραδείσῳ· ἀλλ' ἐκείνῳ μὴ συμφωνήσας βροτὸς, τῇ βουλῇ ἐφάνη ὑψηλὸς Ἄγγελος, τὴν θέωσιν ἑλκύσας ταπεινώσει, καὶ βουλῇ τοῦ κτίστου.

Ἄλλος Ἄγγελος.

Ὅλος ἦν ἐν τῷ βίῳ, καὶ θανάτου μετέχει, τὰ νῦν τὸ

σὸν ἀκήρατον σῶμα· προμετάπτωσις γὰρ μυστικὴ, οὐ κατάβρωσις δὲ βροτικὴ γέγονε, καὶ γόνος ἐκ τῶν ἄνω ἀνεκλήθης, πρὸς βοῶντων ταῦτα·

Χαίροις βρωτῶν, ἀθανάτων σῆμα.
Χαίροις ζωῆς, καὶ θανάτου μίγμα.
Χαίροις Ἰουδαίων ἀμφίβολον ὅραμα.
Χαίροις Ἱερέων ἀγλαώτατον δώρημα.
Χαίροις γέννημα πανθαύμαστον τὸ ἐπὶ τῆς Γριμυθοῦν.
Χαίροις πότισμα πανήδυστον τὸ νοσοῦσι βοηθοῦν.
Χαίροις ὁ ἐναντίοις νῦν ἡμᾶς κατευφραίνων.
Χαίροις ὁ εὐποτμίαν, καὶ ζωὴν συζευγνύων.
Χαίροις ὀλκὴ χειμάρρους κρατήσασα.
Χαίροις πηγὴ χαρίτων πλουτήσασα.
Χαίροις λουτρὸν τοῦ ποτὲ Κωνσταντίνου.
Χαίροις ποινὴ πορνικοῦ μὲν γυναίου.
Χαίροις σῶμα ἀείζωον.

Πόλει τῶν Κερκυραίων, καταπλήττεται ἔθνη, ὁρῶντα τὰ βλαστήματα ἄγαρ, ἐδιώχθησαν μὲν ὑπὸ σοῦ· καθεώρουν γὰρ ὑλικὸν Ἄγγελον, φορῶν εἰς χεῖρας φάσγανον, διώκων τοὺς κατὰ γῆς, καὶ πόντου.

Ἄλλος Ἄγγελος.

Ῥήτορες καθορῶσι, φωλητῆρος Κερκύρας, ἐν πτύῳ τυπωθεῖσαν εἰκόνα· ἐκ φαρμάκων γὰρ σχῆμα λαβὼν, τὴν σὴν ὄψιν ἔθου, καὶ τυφλὸν ὠμμάτωσας, ἡμεῖς δὲ σὺν μητρὶ ποῦτο θαυμάζοντες, σαφῶς βοῶμεν·

Χαίροις χρυσίον πτωχῆς ἐτάζων.
Χαίροις ἀνάκτων, πιστῶν ὁ φύλαξ.
Χαίροις ὅτι δούλου τὴν χεῖρα ἐξήρανας.
Χαίροις ὅτι κάλλος ᾀδόντων ἐμώρανας.
Χαίροις ὅτι κατεσύγχισας τοὺς σοφοὺς συζητητάς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΩΝ ΒΙΒΛΙΟΘΗΚΩΝ ΚΑΙ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

Χαίροις ὅτι ἀπημαύρωσας τοὺς κακίας ποιητάς.
Χαίροις τῶν ἐπιγείων τοὺς θεσμοὺς ὁ συγχίσας.
Χαίροις τῶν οὐρανίων τὰς εὐθύνας κοσμήσας.
Χαίροις φυτὸν ἐπισκέπτον Κερκύραν.
Χαίροις καρπὸς καταφραίνων καρδίαν.
Χαίροις τρυφὴ τῆς Κερκύρας ὑπάρχων.
Χαίροις, ὁ ὑγροψυχροθερμοξηράρχων.
Χαίροις σῶμα ἀείζωον.

Σωμά σου μὲν τὸ Θεῖον, ἵσταται παῤῥησίᾳ, ἐμφέρον θησαυροὺς τῶν Θαυμάτων, καὶ ἐκ γῆς ὑπάρχων ὡς βροτὸς, τὴν δὲ γῆν ἐάσας Οὐρανῷ ᾠκησας, γηείνοις τὰ οὐράνια ἑνώσας, ἐξ ἡμῶν ἀκούεις.

Ἄλλος Ἄγγελος.

Τροπάριον. Τὸν ζωοχέα μελῳδήσωμεν Σπυρίδωνα.

Τόκος εἶ τῆς Τριάδος, ὁ ἐνδείξας Τριάδα, Ἀγγέλοις, καὶ κακίας ἀνθρώποις· ὁ γὰρ οὐρανοῦ, καὶ γῆς ἀνεμόρφωσέ σε ποιητὴς ἄφθαρτον, ποιήσας σε ἀκήρατον, δείκνυσι σε ζωντανὸν τοῖς πᾶσι·

Χαίροις ὁ στύλος ταπεινοσύνης.
Χαίροις ὁ κόσμος τῆς σωφροσύνης.
Χαίροις ὁ μισῶν θησαυροὺς σητοβρώσεως.
Χαίροις ὁ σωτὴρ λεπρικῆς ἀμαυρώσεως.
Χαίροις θεῖε ὁ τὸν Ἕλληνα συναρμόσας πιστοῖς.
Χαίροις ὅτι τὰ ἀγάλματα καταῤῥίψας ἐπὶ γῆν.
Χαίροις Θεοῦ κριμάτων, σῆμα πᾶσι δεικνύων.
Χαίροις δρόσος θαυμάτων, σὲ κυκλοῖ οὐρανίων.
Χαίροις ὀχεὺς τῆς μεταμορφώσεως.
Χαίροις λαμπὰς τῆς θείας αὐγάσεως.
Χαίροις αὐγὴ ὀρθοδόξου σοφίας.
Χαίροις ὀσμὴ τῆς ἡμῶν σωτηρίας.
Χαίροις σῶμα ἀείζωον.

Ὑπὸ σκέπην σου Πάτερ, ἀνατρέχομεν πάντες, ὡς Νῶε κιβωτὸν εἰς τὴν Θείαν· εἰς ἀνάγκας λιμοὺς, σεισμοὺς ἐχρμέν σε βοηθὸν ἅπαντες, ἀνθ' ὧν τελοῦμεν ἄξιον, τὸ δώρημα, νυνὶ, πρὸς σὲ βοῶντες.

Ἄλλος Ἄγγελος.

Φωτοβόλον, λυχνίαν, ἐν τῷ βίῳ φανεῖσαν, ἐτέθης εἰς χαρὰν τοῖς ἀνθρώποις· ζωῆς ἄρθαρτον ἤναψας φῶς, ὁδηγεῖς πρὸς γνῶσιν μακαριότητος, ἡμᾶς τοὺς νῷ μὴ ἔχοντας, χαρὰν τὴν οὐρανίαν ᾠδε·

Χαίροις στροφὴ, ἀρᾶς τῶν γενάρχων.
Χαίροις φυγὰς ἀφῆς παραβάτων.
Χαίροις ὃς Ἀδὰμ, υἱὸν Ἄβελ ἐσήμανας.
Χαίροις ὃς τοῦ Χὰμ ἁμαρτίας ὠνείδισας.
Χαίροις Κάϊν τὸ ζηλόφθονον ἀποβάλλων ἀφ' ἡμῶν.
Χαίροις Ἀβρὰμ τὸ φιλάνθρωπον, ὁ δεικνύων μιμητόν.
Χαίροις Ἀρχιερέων ζωγραφήσας τὸν βίον.
Χαίροις Ἰωνᾶ πάλιν, ἑρμηνεύσας τὸν τύπον.
Χαίροις ἀστὴρ μηνύων θεότητα.
Χαίροις ποιμὴν ἐρῶν ἀνθρωπότητα.
Χαίροις δορκὰς τοῦ Θεοῦ μυστηρίων.
Χαίροις ὀχὴ ἀγαθῶν αἰωνίων.
Χαίροις σῶμα ἀείζωον.

Χύριν πλείστων θαυμάτων, εἰλικρινῶς ὦ Σπυρίδων, ἐδόθης εὐεργέτης Κερκύρας· καὶ προσώρμησας κατ' ἐχθρῶν, προσελυληθότων εἰς αὐτῆς σύνορα, διώξας τὰ στρατεύματα, ἀκούεις παρὰ πάντων οὕτως.

Ἄλλος Ἄγγελος.

Ψαύοντα σώματός σου, τὰ ἀλλόφυλα ἔθνη, ἀρτίμο-

ρος δοκεῖς αὐτοῖς ὄντως· ἐν τῇ σῇ γὰρ ὁρῶσιν ὀχῇ, τὰ βιούντων πάντων ἀβλαβῆ Ὅσιε, κραυγάζουσι, δοξάζουσι, διδάσκουσι, βοᾶν σοι πάντας·

Χαίροις ὁστῶν φυλακὴ ἁγία.
Χαίροις ὁσίων τῶν ζώντων μείζων.
Χαίροις ὁ φορῶν ὑγιὲς περικράνιον.
Χαίροις ὁ τηρῶν ζῶν ἀεὶ τὸ ἐγκέφαλον.
Χαίροις ὄμματ' ἔχων βλέποντα, τοῦ Θεοῦ θεωρίαν.
Χαίροις στόμα ὁ ἀνοίγων, εἰς πιστῶν νουθεσίαν.
Χαίροις ἀθανασίας ὁ ἀκήρατος οἶκος.
Χαίροις τῆς ἀφθαρσίας ὁ αἰώνιος τύπος.
Χαίροις δι' οὗ ἐξέστησαν Ἄγγελοι.
Χαίροις δι' οὗ ἐσώθησαν ἄνθρωποι.
Χαίροις χρωτὸς σταθερὰ κουστωδία.
Χαίροις εἰκὼν τοῦ Θεοῦ ἡ ἁγία.

Χαίροις σῶμα ἀείζωον.

Ὦ Ἐχέμβιον σῶμα, τοῦ θανάτου μὴ ἔχων, τὴν πεῖραν ἁγιώτατον πάντῃ· δεξαμένης τῆς νῦν παροχῆς, δός μοι Θεῖε τῶν κακῶν τὴν ἄφεσιν, καὶ διὰ σοῦ ῥυσθείησαν κακώσεως, οἱ σοὶ βοῶντες.

Ἄλλος Ἄγγελος.

Τροπάριον. Τὸν ζωοχέα μελῳδήσωμεν Σπυρίδωνα.

ΒΙΟΣ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΑΓΩΝΕΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΠΥΡΙΔΩΝΟΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Πάτερ εὐλόγησον

Μεγίστην ὠφέλειαν δύναται νὰ προξενήσῃ εἰς τὴν ψυχὴν ὁ βίος τῶν γενναίων καὶ φιλοθέων ἀνδρῶν, καὶ πολὺν τῆς ἀρετῆς τὸν πλοῦτον· διότι ὄχι μόνον ἀποτρέπει τὸν ἄνθρωπον τοῦ κακοῦ, ἀλλὰ καὶ πρὸς τὸ καλὸν αὐτὸν μεταβάλλει. Ἐπειδὴ ἐάν τις ἦναι ἐπιῤῥεπὴς εἰς τὰ πάθη, ἀκούων ὑπὸ τῆς ἱστορίας τὰ τοιαῦτα διηγήματα, διορθοῦται καὶ θερμότερος γίνεται· μισεῖ τουτέστι τὴν πρώτην κακίαν, ἀσπάζεται τὴν ἀρετὴν, καὶ διὰ τὴν ἀντιζηλίαν τοῦ ὁμοίου του, παρακινεῖται πρὸς τὴν μίμησιν αὐτῆς. Πόσον δὲ δύναται ἡ μίμησις καὶ ὁ ζῆλος τῶν μεγάλων καὶ θαυμασίων ἀνδρῶν, ἔδειξαν μὲν καὶ ἄλλοι μιμησάμενοι τὸ περὶ τὴν ἀρετὴν φιλόπονον τῶν προακμασάντων Ἁγίων· περισσότερον δὲ πάντων ὁ θαυμάσιος τὸν βίον Σπυρίδων, ὅς τις εἰς ἄκρον μὲν ἐζήλωσε τὸν Ἰακὼβ ὁμοῦ καὶ τὸν θεῖον Δαυῒδ, ἀσπαζόμενος κατ' ἐκείνους πολὺ τὴν πραότητα καὶ εἰλικρίνειαν· ἐμβλέψας δὲ καὶ τοῦ Ἀβραὰμ τὸ φιλόξενον, διεμοίρασε τὴν περιουσίαν αὐτοῦ εἰς τοὺς πένητας· ἐκ δὲ τούτου, διὰ μὲν τὸ πρᾶον, ἐκληρονόμησεν, ὄχι τὴν γῆν, ὡς ὁ Κύριος ἐν Εὐαγγελίοις ὑπόσχεται, ἀλλ' αὐτοὺς τοὺς οὐρανούς· διὰ δὲ τὸν πρόσκαιρον πλοῦτον, τὸν ὁποῖον κατεφρόνησεν, ἐμπορευσάμενος ἐξ ὁλοκλήρου τὸν θεῖον πλοῦτον, τὸν Χριστὸν, ἐπλούτησε ποταμοὺς θαυμάτων, οἵ τινες ἀείποτε μὲν ἀντλοῦνται, μηδέποτε δὲ οὐδόλως τελευτῶσιν.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΙΝΣΤΙΤΟΥΤΟΥ ΝΤΟΡΗΣ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

Οὗτος ἦτον ἀπὸ τὴν νῆσον Κύπρον· δὲν ἦτον δὲ πολύλογος, οὔτε ὑπερήφανος, οὐδὲ εὐχαριστεῖτο εἰς τὸ πλῆθος καὶ εἰς τὴν ἀγοράν, ἀλλ' ἁπλοῦς καὶ ἡσύχιος, ἀσχολούμενος ὑπὲρ πάντα τὴν φιλησυχίαν· ὅθεν καὶ ὅλως μιμούμενος τὴν πολιτείαν, ὡς εἴπομεν, τοῦ πατριάρχου Ἰακὼβ, ἔγεινε καὶ αὐτὸς ποιμὴν προβάτων. Δὲν ἦτον ὅμως ποιμὴν τόσον ἀνεπιτήδευτος ἢ καὶ ἄγροικος εἰς τὸ ἦθος καὶ ἀνομίλητος, ἀλλὰ μάλιστα ἐπιμελητὴς καλῶν ἠθῶν· καὶ ἐνῷ ἀπεμακρύνετο τῆς συναναστροφῆς τῶν πολλῶν, ἦτον πολλὰ εὐκολοπλησίαστος καὶ κοινωνικὸς μὲ τοὺς πτωχοὺς καὶ ξένους ἄνδρας, τοὺς ὁποίους χαριέστατα ἐδέχετο εἰς τὸν οἶκόν του, καὶ μὲ μεγάλην φιλοτιμίαν ἐφιλοξένει αὐτούς· ἐὰν δέ τις τῶν διαβατῶν, δι' ἀδιαφορίαν, δὲν ἐπαρουσιάζετο, ἢ ἀλλαχοῦ ἐφιλεύετο ἦτον πολλὰ λυπηρὸν εἰς αὐτὸν καὶ ἴσον μὲ τὴν ζημίαν μεγίστου τινὸς πολυτιμοτάτου πράγματος· καὶ εἰς μὲν τὰ ἄλλα εἶχεν ἐλεύθερον τὸ φρόνημα, καὶ ξένον πάσης ποταπῆς κολακείας καὶ ταπεινότητος· ἐθεράπευε δὲ τοὺς κόπους τῶν ὁδηπορούντων, ἔνιπτε τῶν κουρασμένων τοὺς πόδας, ἡτοίμαζε τράπεζαν, ὑπηρέτει δὲ καθ' ὅλα τὰ ἀναγκαῖα, μὲ τόσην ταπείνωσιν καὶ εὐλάβειαν, ὁσην δεικνύουσιν οἱ πιστοὶ ὑπηρέται πρὸς τοὺς κυρίους των· διότι ἡ ἁπλότης αὐτοῦ ἦτον συγχερασμένη μὲ τὴν σεμνότητα, ἡ δὲ πραότης μὲ τὴν ἀνδρίαν, ἡ δὲ ὑπερβολικὴ καὶ δραστήριος αὐτοῦ ἀγάπη μὲ τὴν σωφροσύνην, τὴν ὁποίαν ἠγάπησεν ὑπὲρ πάντα καὶ προθύμως ἠναγκαλίσθη· ἔλαβε δὲ νόμιμον καὶ σώφρονα γυναῖκα, καὶ ἐξ αὐτῆς ἐτεκνογόνησε· μετὰ τὴν ἀποβίωσιν ὅμως ταύτης, ἔζη τιμίως χωρὶς ἡδονὴν ἢ ἄλλης τινὸς σαρκικῆς ἐπιθυμίας. Ὅθεν ἐργαζόμενος τὸ φιλοπονώτερον μέλι τῆς ἀρετῆς, καὶ μελετῶν σπουδαίως τὸν νόμον τοῦ Θεοῦ, ἔγεινε φιλανθρωπότατος μὲν κατὰ τὴν ψυχὴν, ἐπιεικέστατος δὲ τὴν γνώμην· καὶ ἁπλῶς εἰπεῖν ὁ θεῖος Σπυρίδων ἦτον ἀληθὴς εἰκὼν καὶ ἀρχέτυπον τῶν ἀρετῶν, ἔχων ὅλας ταύτας ἱστορισμένας ἐν ἑαυτῷ, ὀλίγοι δὲ ἐδύναντο νὰ μιμηθῶσιν αὐτόν. Οὕτω λοιπὸν, διαλάμπων εἰς τὰ κατορθώματα καὶ ἐργασίας τῆς ζωῆς αὐτοῦ, ἀξιοῦται παρὰ Θεοῦ πλουσιωτέρων δωρεῶν, ἐκ τῶν ὁποίων ἐντοσούτῳ ἐδὼ ἀναφέρω, ὅσας δύνανται νὰ φανερώσωσι τὴν μέλλουσαν αὐτοῦ δόξαν καὶ μεγαλειότητα.—Εἶναι δὲ αὗται· ἐθεράπευε διαφόρους ἀσθενείας, ἐφώτιζε τυφλοὺς, ἐπετίμα τὰ πονηρὰ πνεύματα, καὶ τὸ μεταξὺ διάστημα τῆς ἐπιτιμίας καὶ τῆς φυγῆς οὐδὲν ἦτον, ἀλλ' εὐθὺς ἠλευθερόνεντο· καὶ ἄλλα μὲν θαύματα πολλὰ διέπραττε μεγαλήτερα τούτων, συμβοηθούσης αὐτῷ τῆς θείας δυνάμεως· διὰ τοῦτα λοιπὸν ἀντὶ ποιμένος προβάτων, γίνεται Ποιμὴν ἀνθρώπων· καὶ ὅτε ὁ μέγας Κωνσταντῖνος βασιλεὺς Ῥωμαίων ἐγένετο,

τότε καὶ ὁ θαυματουργὸς Σπυρίδων, ἐπίσκοπος τῆς πόλεως Τριμυθοῦντος γνωρίζεται. Πόσην δὲ εἶχε τῆς ἀρετῆς ἐπιμέλειαν, ἀφοῦ ἐχειροτονήθη ἐπίσκοπος, τὰ μετὰ τὸν θρόνον αὐτοῦ θαύματα ὁμοίως θέλουσι φανερώσει· ἀλλὰ νὰ διηγηθῶ πάντα τὰ ἐκείνου εἶναι ἀδιάκριτον ὁμοῦ καὶ ἀδύνατον· καθὼς νὰ παραλείψω πάντα, εἶναι τωόντι ἐπιζήμιον. Ὅθεν θέλω ἀναφέρει ὅσα εἶναι δυνατὸν νὰ εἴπω, καὶ ὅσα πολλὰ ὠφέλιμον ἵνα ἀκροασθῆτε.

Ἐπαίδευεν ὁ Θεὸς τὴν νῆσον Κύπρον μὲ ἀνομβρίαν, καὶ ἐκυρίευεν αὐτὴν μεγαλοτάτη ξηρασία, τὴν ὁποίαν παρηκολούθει μὲν πεῖνα καὶ μετὰ τὴν πεῖναν λοιμός· καὶ πολλοὶ μὲν ἐκ τοῦ πλήθους καθεκάστην ἀπέθνησκον, ἄλλοι δὲ ἐπλησίαζον νὰ πάθωσι τοῦτο· ὅθεν ἐχρειάζετο τὸ μέγα τοῦτο δυστύχημα, ἕνα Ἠλίαν ἢ ἄλλον τινὰ ὅμοιον εἰς τὰ ἔργα μὲ ἐκεῖνον, διὰ νὰ ἀνοίξῃ μὲ τὴν προσευχὴν αὐτοῦ τὸν οὐρανόν. Καὶ οὗτος ἦτον ὁ Σπυρίδων· ὁ ὁποῖος βλέπων τὴν τοιαύτην μάστιγα παιδεύουσαν ἰσχυρῶς τὸ πλῆθος, ὑπερλυπούμενος διὰ τὸ ποίμνιον, καὶ εἰς τὰ πατρικὰ σπλάγχνα διακαιόμενος, δέεται ὡς φιλάνθρωπος τοῦ φιλανθρώπου Θεοῦ· ὁ δὲ εὔσπλαγχνος Θεὸς πληρόνει εὐθὺς ἐξ ἐσχάτου τῆς γῆς τὸν οὐρανὸν νεφέλας· καὶ τὸ θαυμασιώτερον, διὰ νὰ μὴν ἤθελέ τις νομίσῃ ὅτι ἡ βροχὴ ἠκολούθησε κατὰ τοὺς φυσικοὺς νόμους τῶν στοιχείων, δεικνύει μὲν αὐτὰς μακρόθεν ὁ Θεὸς, τὰς βιαστὰ, δὲν ἀφίνει νὰ ἐπιβῶσιν εἰς τὴν νῆσον πρὶν, παρὰ καὶ πάλιν ὁ ἅγιος νὰ δεηθῇ· ηὔξατο λοιπὸν πάλιν θερμότερον, καὶ ἅμα ἔτρεξαν τὰ δάκρυα τοῦ Σπυρίδωνος, εὐθὺς ἦλθε τόση βροχὴ, ὥς τε χορταίνεται μὲν ἡ γῆ, τρέφονται δὲ οἱ καρποὶ, αὐξάνουσι τὰ γεννήματα καὶ τελειόνουσιν ὁμοῦ ὅλα τὰ δεινά. Τολμῶ λοιπὸν εἰπεῖν, ὅτι, κατὰ τοῦτο, ὁ Σπυρίδων ἦτο φιλανθρωπότερος καὶ ἀπ' αὐτὸν τὸν Ἠλίαν· διότι ἐκεῖνος μὲν ἐμποδίσας τὴν βροχὴν, ἔπειτα πάλιν ἐπανέφερεν αὐτήν, ὁ δὲ ἐνῷ δὲν ἐμιμήθη αὐτοῦ τὸ πρῶτον, φαίνεται ἴσος μὲ αὐτὸν εἰς τὸ δεύτερον. Ἀκούσατε δὲ καὶ ἄλλο θαῦμα παρόμοιον.

Κοινὴ συμφορὰ καὶ μεγάλη πάλιν ἀκαρπία ἐκυρίευε τὴν νῆσον· οἱ δὲ ἐμπορευόμενοι τὸν σῖτον καὶ τὰ ἄλλα γεννήματα ἐκτρυφοῦσαν εἰς τοιαύτην παρὰ Θεοῦ τιμωρίαν· ὠφελούμενοι δὲ ἀπὸ τὴν περίστασιν ηὔξανον περισσότερον τὴν συμφοράν καὶ ταμιευλκοῦντες, καθὼς λέγει ἡ Θεία Γραφὴ, τὸν σῖτον, τοὐτέστιν οἰκονομοῦντες αὐτὸν ἐν καιρῷ μεγαλειτέρας ἀκριβείας, διὰ νὰ κερδίσωσιν οἱ ἀνόσιοι περισσότερα χρήματα, μὲ τὴν δυστυχίαν τῶν πενήτων. Προσελθὼν λοιπὸν πτωχός τις καὶ ὄπορος εἰς ἕνα τῶν οὕτω πλουτούντων, καὶ μὴν ἔχων χρήματα διὰ νὰ ἀγοράσῃ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ἐδέετο αὐτοῦ μὲ ὅσα, φεῦ,

εἶχε δάκρυα, μὲ φωνὰς λυπηρὰς, μὲ σχῆμα ταπεινὸν, μὲ βλέμμα συμπαθείας, καὶ κειτόμενος εἰς τοὺς πόδας αὐτοῦ ἐπροσπάθει νὰ κινήσῃ εἰς ἔλεος τὸν ἄσπλαγχνον, προσκλαιόμενος εἰς ὅλον του τὸν οἶκον· τί δὲν ἔπραξε ; καὶ τί δὲν εἶπε ; διὰ νὰ παρακινήσῃ αὐτὸν εἰς σπλάγχνος ; ἀλλὰ μ' ὅλα ταῦτα, ἡ λιθίνη ἐκείνη ψυχὴ δὲν ἔκλινε παντελῶς εἰς συμπάθειαν· μίαν μόνην ὁ πένης καταφυγὴν εὑρίσκει τὸν Ὅσιον· παρουσιαοθεὶς λοιπὸν πρὸς αὐτὸν, ἀνήγγειλε πρῶτον τὴν ἐσχάτην αὐτοῦ πενίαν, ἔπειτα δὲ καὶ τὴν τοῦ πλουσίου σκληρότητα. Ταῦτα ἀκούσας ὁ Ἅγιος τούτου μὲν τὴν συμφορὰν ἐλυπήθη, τοῦ δὲ πλουσίου τὴν σκληρότητα ἐμίσησε, πεφωτισμένος δὲ παρὰ Θεοῦ, προεφήτευσε τὸ ὅ,τι ἔμελλε νὰ συμβῇ· ὅθεν λέγει πρὸς αὐτόν, μὴ στέναζε, μηδὲ κλαῖε· ἐπειδὴ αὔριον θέλεις ἴδει ἐμπεπλησμένον τὸν οἶκον σου, καὶ τὸν νῦν πλούσιον ἐλεεινολογούμενον καὶ καταγελώμενον παρὰ πάντων, ἀκουσίως δὲ θέλει σὲ παρακαλεῖ νὰ λάβῃς ὅσον σῖτον χρειάζεσαι· τότε ὁ πτωχὸς νομίζων ὅτι μόνον πρὸς παρηγορίαν τῆς συμφορᾶς του εἶπε ταῦτα ὁ Ἅγιος, ἀπῆλθε λυπούμενος βλέπων, ὡς τῷ ἐφαίνετο, ματαίαν καὶ ἄπρακτον τὴν ἐλπίδα αὐτοῦ· ἀλλὰ τὴν νύκτα εὐδοκίᾳ Θεοῦ, πίπτει τόσον ῥαγδαία βροχὴ, ὥστε συνέσυρε τὰς ἀποθήκας τοῦ πλουσίου· ὁ δὲ σῖτος καὶ οἱ ἄλλοι καρποὶ ἐχύθησαν εἰς τὴν ὁδὸν, ὄντες ἕτοιμοι εἰς τοὺς ἐθέλοντας νὰ ἁρπάσωσιν αὐτούς· τὸ δὲ πρωὶ ὁ ἄθλιος πλούσιος θρηνώδης περιτρέχων ἔνθεν κἀκεῖσε ἔκλαιε τὴν δικαίαν αὐτοῦ συμφοράν· παρεκάλει δὲ τοὺς τυχόντας νὰ τῷ βοηθήσωσιν εἰς τὴν συνάθροισιν τῶν καρπῶν· ἀλλ' ἐπειδὴ ἦσαν πολλοὶ χρειαζόμενοι, συνέδραμον εἰς ἁρπαγήν· ἐξαιρέτως δὲ καὶ ὁ ῥηθεὶς πτωχὸς, ὅς τις θαυμάζων τὴν πρόῤῥησιν τοῦ Ἁγίου, περιέπαιζε μὲ δικαιότατον γέλωτα τὸν πλούσιον· καὶ χωρὶς τῶν τε νὰ σπείρῃ καρποὺς, ἐνέπλησε τὴν οἰκίαν αὐτοῦ· βλέπων δὲ ὁ σκληρὸς ἐκεῖνος καὶ ἄσπλαγχνος ὅτι συνέτρεχεν ὁ λαὸς, ἐπειδὴ ἔπρεπε νὰ πληρωθῶσι τὰ ὑπὸ τοῦ θείου Σπυρίδωνος προλεχθέντα, καὶ ἥρπαζον ἀφόβως τὸ πρᾶγμά του, μεταξὺ δὲ αὐτῶν καὶ τὸν χθεσινὸν πτωχὸν, ἀπολαβόντα, ὡς εἴπομεν, ἀφθονέστατα τὸν σῖτον· διὰ νὰ δείξῃ γνώμην φιλόχριστον, καὶ ὅτι ἦτον μεταδοτικὸς καὶ μεγαλόδωρος ὁ λίαν φιλάργυρος καὶ ἀκοινώνητος, ἐδιώριζε τὸν πτωχὸν νὰ λαμβάνῃ ἀφόβως ὅσον ἐβούλετο· ὁ δὲ πτωχὸς περιγελάσας ἱκανῶς τὴν ἀνοησίαν αὐτοῦ, ἐπορεύετο εἰς τὸν οἶκόν του, ἀναγνωρίζων τὴν χάριν πρῶτον εἰς τὸν Θεὸν, ἔπειτα δὲ εἰς τὸν Ἅγιον. Τοιουτοτρόπως λοιπὸν ἤξευρεν ὁ Σπυρίδων, ὄχι μόνον διὰ πολλοὺς, ἀλλὰ πολλάκις καὶ δι' ἕνα νὰ ἀνοίγῃ τοὺς καταράκτας τοῦ οὐρανοῦ, διὰ νὰ ὠφελήσῃ πτωχοὺς καὶ νὰ σωφρονήσῃ πλουσίους. Ἀλλ' ὁ προγεγραμμένος φιλάργυρος οὐδὲν ὠφελήθη, ὡς κατωτέρω ῥηθήσεται, πολλοὶ ὅμως ὅμοιοι αὐτῷ ἐδιορθώθησαν. Ταῦτα ποῖος τῶν ἀκροατῶν δὲν ἤκουσεν εὐχαρίστως ; ποῖος δὲ ἀκούσας, δὲν ἔλαβε προθυμοτέραν τὴν ἀκοήν πρὸς τὰ ἄλλα, καὶ δὲν ἐζήτησε νὰ μάθῃ αὐτά ; ἐπιζητῶν δὲ, ποῖος ὀκνηρὸς οὕτως ἢ φθονερὸς ἀποστερεῖ πεινῶσαν ψυχὴν τοιαύτης τροφῆς: (ὅθεν ἀκούσατε).

Ἄλλος τις γεωργὸς φίλος τοῦ Ὁσίου, ταλαιπορούμενος ὑπὸ τῆς πείνης, ἀπῆλθε καὶ οὗτος πρὸς αὐτὸν ἐκεῖνον τὸν πενιχρὸν πλούσιον, ὅς τις εἶχεν ἀκόμη καὶ ἄλλας πολλὰς βρυνομένας ἀποθήκας σίτου, νομίζων ὅτι ἀρκετὰ ἐσωφρόνησεν αὐτὸν ἡ προτέρα συμφορά· ὁ δὲ τὸν μὲν σῖτον ἐζημιώθη, τὴν δὲ φειδωλίαν καὶ τὴν πρὸς τὸν πλησίον σκληρότητα, παντελῶς δὲν μετέβαλε· ἔλεγε λοιπὸν πρὸς αὐτὸν ὁ πένης, ἵνα δανείσῃ αὐτῷ ὀλίγον καρπὸν, ὑποσχόμενος, ἵνα τὸ θέρος ἐπιστρέψῃ αὐτὸν, ὁμοῦ μὲ τὸν τόκον αὐτοῦ· ἀλλ' ἐκεῖνος τῷ ἀπεκρίθη μὲ τὴν αὐτὴν προτέραν σκληρότητα, ὅτι ἄνευ χρημάτων δὲν θέλει λάβει οὐδ' ἕνα κόκκον, οὐδὲ τὴν σκιὰν αὐτοῦ. Ἀπελπισθεὶς λοιπὸν ὁ πένης οὗτος, μιμεῖται τὸν προλαβόντα, καὶ καταφεύγει ὡς εἰς κοινὸν θησαυρὸν τὸν εὐλογημένον Σπυρίδωνα· ἀπαγγέλλει πρὸς αὐτὸν τὰς περιστάσεις τοῦ, τὸ ἄσπλαγχνον τοῦ πλουσίου καὶ τὴν αὐτοῦ ἀπολογίαν. Ὁ δὲ Ἅγιος, τότε μὲν ἀρκετὰ παρηγορήσας αὐτὸν, ἀπέστειλεν εἰς τὸν οἶκόν του· ἡ παρηγορία ὅμως δὲν ὑφίστατο εἰς ματαίους λόγους, ἀλλὰ τὸ πρωὶ ὁ αὐτὸς ἐκεῖνος μέγας ἀρχιερεὺς, φθάνει πρὸς τὸν πένητα ἐπιφέρων εἴδός τι χρυσοῦν ὀγκώδες, τὸ ὁποῖον τί ἦτον, πόθεν καὶ πῶς εὑρέθη εἰς τὸν Ἅγιον, μετ' ὀλίγον ὁ λόγος θέλει φανερώσει. Τοῦτο λοιπὸν ἐμβαλὼν ὁ μέγας Σπυρίδων εἰς τὰς χεῖρας τοῦ πένητος, δέξαι, εἶπεν, δόσον αὐτὸ ἐνέχειρον εἰς τὸν πλούσιον, καὶ παρ' αὐτοῦ ὅσα σὲ ἀναγκαιοῦσι χρήματα λάμβανε· ὁ δὲ πτωχὸς ἐπορεύθη μὲ μεγάλην χαρὰν πρὸς τὸν πλούσιον. Ἰδὼν δὲ ἐκεῖνος τὸ χρυσίον, ἐνῷ πρὸ ὀλίγου ἦτον σκληρὸς, ἀδυσώπητος καὶ κωφὸς τὰ ὦτα πρὸς δέησιν, εὐθὺς ταπεινοῦται ὑπὸ τῶν ὀφθαλμῶν, γίνεται γλυκὺς καὶ φιλάνθρωπος. Λαβὼν δὲ ἐκεῖνο, τόσον ἀφθόνως ἔδωκε σῖτον πρὸς αὐτὸν, ὥστε ἐξήρκεσε νὰ σπείρῃ τοὺς τε ἀγροὺς αὐτοῦ, καὶ τὴν οἰκογένειαν νὰ ἐκθρέψῃ μέχρι τοῦ θέρους· ὅτε δὰ τόσον ἀπῆλαυσε καρπὸν, ὥστε καὶ τὸ χρέος αὐτοῦ ἐπλήρωσεν εἰς τὸν δανειστὴν, καὶ τὸ χρυσοῦν ἐνέχυρον ἐκεῖθεν ἀνέλαβε καὶ μετ' εὐγνωμοσύνης πάλιν ἐπέστρεψεν αὐτὸ πρὸς τὸν Ἅγιον· ἀλλ' ὁ μὲν πένης οὕτως ἐπλήρωσε τὸ χρέος· βούλεται δὲ καὶ ὁ λόγος νὰ ἐκπληρώσῃ αὐτὸ, καὶ νὰ φανερώσῃ τὸ ὑποσχεθὲν, τί ἦτον πρότερον ὁ χρυσὸς, καὶ πόθεν ἐλήφθη. Τῳόντι ἀφοῦ ἔλαβεν ὁ Ἅγιος τὸ δοθὲν, ἐλθὲ, λέγει, πρὸς τὸν πένητα, νὰ ἀποδώσωμεν αὐτὸ τοῦ φιλανθρώπου Θεοῦ, ὅς τις σὲ τὸ ἐδάνεισε. Οὕτως εἶπε, καὶ λαβὼν αὐτὸν, φέρει εἰς τινα

κῆπον, τὸν ὁποῖον εἶχε, διὰ νὰ προμηθεύεται τὰ ὀλίγα πρὸς τροφὴν λάχανα, καὶ σταθεὶς πλησίον εἰς τὴν λιθίαν καὶ ἐγγίξας τὸν φραγμόν, τὰ δὲ ὄμματα πρὸς οὐρανὸν ὑψώσας, μεγαλοφώνως ἐξεφώνει· Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ πάντα ποιῶν καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι· ὁ ἐπὶ Μωϋσέως ποτὲ τὴν ῥάβδον εἰς ὄφιν μεταβαλὼν ἔμπροσθεν τοῦ βασιλέως τῆς Αἰγύπτου, αὐτὸς καὶ τὸ χρυσίον τοῦτο, καθὼς ἐκ ζώου πρότερον μετέβαλες εἰς τὴν μορφὴν ταύτην, οὕτω καὶ νῦν μετάτρεψον εἰς τὸ ἀρχαῖον αὐτοῦ εἶδος· ὅπως καὶ οὗτος μάθῃ τὴν περὶ ἡμᾶς σου πρόνοιαν καὶ διδαχθῇ ἐμπράκτως τὸ ἐν τῇ Θείᾳ Γραφῇ λόγιον, ὅτι «Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησε». Ταῦτα ἀφοῦ εὐχήθη ὁ Ἅγιος, ὢ, τίς νὰ εἴπῃ τὴν ὑπερβολὴν τῶν θαυμασίων σου Δέσποτα! εὐθὺς ἔγεινεν ὄφις ζῶν τὸ ἄψυχον ἐκεῖνο χρυσίον, καὶ ἑρπόμενος περὶ τὴν λιθίαν, ἐξ ἧς πρότερον παρὰ τοῦ Ὁσίου ἐλήφθη, καὶ εἰς χρυσὸν παραδόξως μετεβλήθη. Τοῦτο τὸ παράδοξον θαῦμα ἰδὼν ὁ γεωργὸς, ὅλος ἔντρομος ἀπὸ τὸ θάμβος καὶ ἐκπληττόμενος πίπτει μὲ τὸ πρόσωπον εἰς τὴν γῆν· κατακνιακτίζει τὴν κεφαλήν, χύνει θερμότατα δάκρυα, καὶ ὁμολογεῖ ἑαυτὸν ἀνάξιον ὄχι μόνον νὰ ἀπολαύσῃ τοιαύτης δωρεᾶς καὶ χάριτος, ἀλλ' οὐδὲ νὰ ἴδῃ ἢ κἂν ν' ἀκούσῃ· ὁ δὲ Ἅγιος ἐγείρει αὐτὸν καὶ ἐνδυναμόνει ψυχικῶς ὁμοῦ καὶ σωματικῶς· ὁ δὲ ὄφις ἐντοσούτῳ διαπεράσας τὸν φραγμὸν, ἐμβῆκεν εἰς τὴν ἐξ ἀρχῆς αὐτοῦ φωλεάν. Τὸ θαῦμα τοῦτο οὐδένα ἀπαιτεῖ λόγον πρὸς αὔξησιν· ἐπειδὴ ἀφ' ἑαυτοῦ φαίνεται πόσον εἶναι θαυμάσιον. Ἂς εἴπωμεν δὲ καὶ τὸ ἑξῆς· τὸ ὁποῖον ὁμοιάζον μὲ τὰ προλαβόντα ἔχει τὴν αὐτὴν μὲ ἐκεῖνα χάριν καὶ δύναμιν.

Ἄλλος τις ἐνάρετος, φίλος καὶ αὐτὸς τοῦ Ἁγίου, φθονούμενος ἀπό τινας πονηροὺς ἄνδρας διὰ τῆς ἀρετῆς αὐτοῦ, καὶ συκοφαντηθεὶς περί τινων ἐγκλημάτων, δεσμεύεται ὑπὸ τοῦ ἄρχοντος τῆς ἐπαρχίας καὶ καταδικάζεται εἰς ἄδικον θάνατον· ἐνῷ λοιπὸν ἐπλησιάζεν ἡ προθεσμία του, προγνωρίσας τοῦτο ὁ Ἅγιος, τρέχει προθύμως διὰ νὰ λυτρώσῃ τὸν φίλον αὐτοῦ ἀπὸ τὴν συμφοράν. Ἦτον δὲ τότε ἀκμὴ τοῦ χειμῶνος· καὶ ὁ παρατρέχων ποταμὸς (ἀπὸ τὸν ὁποῖον ἀφεύκτως ἔπρεπε νὰ διαβῇ), ἐπλημμύρει ἕνεκα τῶν πολλῶν καὶ ῥαγδαίων βροχῶν, ὥστε δὲν εἶχεν οὐδαμοῦ κἀνὲν πέρασμα. Ὁ δὲ Ἅγιος, ἐνθυμούμενος τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ τὰ ἐκείνου, τὴν διάβασιν τῆς κιβωτοῦ λογιζόμενος καὶ πιστεύων ἀδιστάκτως, ὅτι ὑπάρχει ὁ ἴδιος Θεός, ὅς τις ἐνήργησε τὰ τοιαῦτα τεράστια, καὶ ἔτι δύναται νὰ ἐνεργήσῃ παρόμοια, προστάζει τὸν χείμαρρον, τρόπον τινὰ, ὡς ὑπηρέτην· στῆθι, εἶπεν, σὲ διορίζει ὁ Δεσπότης τῶν ἁπάντων· καὶ ἐγὼ μὲν θέλω διαβῆ, ὁ δὲ ἄνθρωπος, περὶ

τοῦ ὁποίου πολλὰ τοῦ Θεοῦ ἐδεήθημεν, θέλει ἐλευθερωθῆ. Οὕτως εἶπεν, καὶ ὁ λόγος παρευθὺς ἔργον ἐγένετο· ἵσταται τὸ ῥεῦμα τοῦ ποταμοῦ, παραχωρεῖ δὲ πέρασμα ὄχι μόνον εἰς τὸν Σπυρίδωνα, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ὁδίτας, χωρὶς τοῦ λοιποῦ νὰ τύχῃ κἀνὲν κακὸν ἢ ἀδιάβατον συνάντημα. Τὸ μὲν λοιπὸν πάρεργον οὐδὲν ὀλιγώτερον ἔγεινε θαυμαστὸν ἀπὸ τὴν καθ' αὐτὸ ἐργασίαν· μάλιστα ἐκ τούτου κατωρθώθη ταχύτερον ἐκεῖνο· ἐπειδὴ ὡς εἶδον οἱ συμπορευόμενοι τοιοῦτον θέαμα, προδραμόντες αὐτοῦ, καὶ εἰς τὴν πόλιν τάχιστα ἐλθόντες, ἐκήρυξαν μεγαλοφώνως τὸ τερατούργημα. Ὁ δὲ ἄρχων ἐκπλαγείς, καὶ ἀπὸ φόβον κυριευθείς, μήπως φανῇ ὅτι ἐναντιόνεται εἰς τοιοῦτον ἄνδρα, ἐλευθερόνει εὐθὺς τὸν φίλον αὐτοῦ ἀπὸ τὰ δεσμὰ, καὶ χαρίζει τοῦτον εἰς τὸν Ἅγιον· ὁ δὲ, λαβὼν τοῦτον, ἐπέστρεφε χαίρων· καὶ ἀπὸ μίαν αἰτίαν, ἔκαμε δύο· διότι ἔστησε μὲν τὴν ὁρμὴν τοῦ χειμάρρου, ἔσωσε δὲ φιλανθρώπως τὸν ἄνθρωπον ἀπὸ τὴν συμφοράν. Ἐκ τῶν εἰρημένων φαίνεται πόσην χάριν προφητείας καὶ θαυματουργίας εἶχεν ὁ Ἅγιος καὶ πόσην συμπάθειαν πρὸς τοὺς ἐν συμφοραῖς· ὁ δὲ λόγος εἶναι ἕτοιμος νὰ φανερώσῃ τι περισσότερον τῶν εἰρημένων εἰς προφητείαν ὁμοῦ καὶ συμπάθειαν· προεγνώριζε, λέγω, τὰς ἁμαρτίας τῶν ἀνθρώπων, καὶ προέτρεπεν αὐτοὺς εἰς μετάνοιαν, μὲ φιλανθρωπίαν συμβουλῆς καὶ ἀφθονίαν χάριτος.

Πανταχοῦ ὁ μέγας Σπυρίδων ἐφύλαττε τὴν ταπείνωσιν, μάλιστα δὲ εὐχαριστεῖτο εἰς τὴν ὀλιγάρκειαν, μιμούμενος τὸν ἑαυτοῦ Δεσπότην Χριστόν· οὔτε ἐμεταχειρίζετο ποτὲ ἵππον εἰς τὰς ὁδοιπορίας αὐτοῦ. Ὁδοιπορήσας λοιπὸν ποτὲ μὲ συνεχῆ καὶ ἀδιάκοπον προσπάθειαν, καὶ πολλὰ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐπορεύθη εἰς ἕνα τῶν φίλων αὐτοῦ, ἵνα λάβῃ μικρὰν ἀναψυχὴν, ὅς τις ὑπεδέχθη αὐτὸν εὐχαρίστως, ὡς ἔπρεπεν εἰς πρόβατον, τὸν ἀγαθὸν αὐτοῦ ποιμένα φιλοξενούμενον. Ἀποβλέπων δὲ ὡς εἰς κάλλιστον ὀρχέτυπον τὸν βίον αὐτοῦ, ἐδείκνυε πρὸς αὐτὸν, τὴν τοῦ Δεσπότου καὶ πρώτου διδασκάλου Χριστοῦ μετριοφροσύνην· διότι λαβὼν ὕδωρ καὶ βαλὼν αὐτὸ εἰς τὸν νιπτῆρα, ἑτοιμάζετο νὰ πλύνῃ τοὺς πόδας τοῦ Ἁγίου· οἱ δὲ γείτονες ἀκούσαντες ὅτι ὁ μέγας Σπυρίδων ἦτον ἐκεῖ, ἔτρεχον πάντες καὶ συνερίζοντο ποῖος νὰ κάμῃ περισσοτέραν ὑπηρεσίαν πρὸς αὐτὸν, ἀμφισβητοῦντες μετ' ἀλλήλων περὶ τῆς εὐλογίας αὐτοῦ. Μεταξὺ λοιπὸν τῶν πολλῶν ἦλθε καὶ γυνή τις ἁμαρτωλὸς διὰ νὰ νύψῃ τοὺς πόδας αὐτοῦ· ἀλλ' ἐκεῖνος γνωρίσας τὴν ἀπόκρυφον ἁμαρτίαν αὐτῆς, ἡσύχως μὲν ἀποστρέφει τὸ ἥμερον ἐκεῖνο καὶ ἡδὺ πρόσωπον, καὶ ἡσύχως λέγει πρὸς αὐτὴν: «Μὴ μοῦ ἅπτου ὦ γύναι»· εἶπε δὲ τοῦτο ὄχι ποτὲ μεγαλοφρονούμενος ἢ τὴν

γυναῖκα ἀποστρεφόμενος· διότι πῶς, μαθητὴς ὢν ἐκείνου, ὃς τις συνέθρε μὲ τελώνας καὶ πόρνας καὶ ἁμαρτωλούς; ἀλλὰ διὰ νὰ παρακινήσῃ αὐτὴν νὰ ἔλθῃ εἰς μετάνοιαν, καὶ νὰ μισήσῃ τὴν πονηρὰν ἐργασίαν· ὅπερ καὶ ἐγένετο· ἐπειδὴ μᾶλλον σπουδάζουσα αὕτη νὰ πλησιάσῃ, ἤλεγξεν αὐτὴν ἐκφώνως ὁ Ἅγιος, καὶ φανερῶς τὴν ἁμαρτίαν αὐτῆς ἐθριάμβευσε. Τότε δὲ καὶ αὐτή, πληγομένη ἀπὸ τὸν τῆς συνειδήσεως ἔλεγχον, καὶ ἐκπληττομένη διότι εἶδε τὰς ἀθεάτους πληγὰς τῆς ψυχῆς αὐτῆς, ὄχι πλέον μὲ ὕδωρ, ἀλλὰ μὲ δάκρυα ἔνιπτε τοὺς πόδας αὐτοῦ, καὶ μὲ συντριβὴν καρδίας, ἐξομολογεῖται δημοσίως τὸ πεπραγμένον ἁμάρτημα. Τί λοιπόν; ἡ μὲν ἐμιμήθη τὰ τῆς πόρνης, ὁ δὲ τὰ τοῦ Δεσπότου Χριστοῦ παῤῥησιαστικότατα μιμούμενος, λέγει πρὸς αὐτήν: «Θάρσει θύγατερ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου» καὶ πολιτικῶς: «Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε» καὶ τὴν νόσον μὲν θεραπεύσας, κατὰ τοὺς ὀφθαλμοὺς τῶν ἰατρῶν, ἐνταυτῷ δὲ καὶ τὴν ἐπανακύλισιν εἰς τὰ αὐτὰ ἐμποδίσας. Τοιουτοτρόπως λοιπὸν ἐκείνη κάλλιστα καὶ ὠφελιμώτατα ἐθεραπεύθη· διότι ὄχι μόνον αὕτη ἔγεινε εἰς ἀμετάβλητον ὑγείαν, ἀλλὰ καὶ ὅσοι ἤκουον ταύτην διηγουμένην, ἐδιορθόνοντο. Ἐπειδὴ δὲ τὸν βίον φανερόνουσι τὰ θαύματα, πρέπει νὰ γνωστοποιήσωμεν ὁποῖός τις καὶ περὶ τὴν πίστιν ἦτον ὁ ζῆλος τοῦ Σπυρίδωνος. Τὸ ἀκόλουθον δὲ θέλει δειξει.

Ὅτε ὁ μέγας Κωνσταντῖνος καὶ πρῶτος ἐν βασιλεῦσι Χριστιανὸς ἐξουσίαζε τοὺς Ῥωμαίους, ὑπάτευε δὲ Ποῦλλιος καὶ Ἰουλιανός, τελεόνοντος τοῦ ἑξακοσιοστοῦ τριακοστοῦ ἕκτου ἔτους ἀπὸ τῆς βασιλείας Ἀλεξάνδρου τοῦ υἱοῦ Φιλίππου· τότε δὴ καὶ ἡ ἐν Νικαίᾳ περιώνυμος τῶν ἁγίων Πατέρων ἠθροίζετο Σύνοδος, διὰ νὰ καθήρῃ μὲν τὸν Ἄρειαν, ὃς τις ἔλεγε δυσσεβῶς τὸν Υἱὸν τοῦ Θεοῦ κτίσμα, νὰ δογματίσωσι δὲ τὸν Υἱὸν ὁμοούσιον μὲ τὸν Πατέρα. Ἦσαν δὲ τῆς βλασφημίας αὐτοῦ οἱ πρῶτοι μάλιστα καὶ ἐπισημότατοι ὑπέρμαχοι, Εὐσέβιος ὁ Νικομηδείας, Θεόγνις ὁ Νικαίας καὶ ὁ Χαλκηδόνος Μάρις. Οὗτοι, ἔχοντες ἐπὶ κεφαλῆς τὸν μανιώδη Ἄρειον, ἐδογμάτιζον, ὡ τῆς μανίας αὐτῶν, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ὅτι εἶναι κτίσμα, τὰ πονηρὰ ὄντως κτίσματα. Οἱ δὲ τῶν τῆς εὐσεβείας διαγωνιζομένων πρόμαχοι, τῶν ὁποίων ἡ παιδεία καὶ ἡ ἀρετὴ ὑπερεῖχε τῶν ἄλλων, ἦσαν οὗτοι· ὁ μέγας καὶ ἅγιος Ἀλέξανδρος, ἔτι πρεσβύτερος ὤν, ἀλλ' ἐπέχων τὸν τόπον τοῦ μακαρίου Μητροφάνους πατριάρχου Κωνσταντινουπόλεως, οὗ τινος ἡ ἀπόλειψις ἔγεινεν ἕνεκα ἀσθενείας. Ὁ ἔνδοξος Ἀθανάσιος, ὃς τις ἀκόμη τότε δὲν διεκόσμει τὸν ἱερατικὸν θρόνον, ἀλλ' ἀπεπλήρει τάξιν διακόνου τῆς Ἀλεξανδρέων Ἐκκλησίας· ὅθεν ὄχι καὶ μικρὸς φθόνος κατ' αὐτῶν ὑπεισχώ-

ρησεν, διότι μήν ἔχοντες ἀκόμη τὸ ἐπισκοπικὸν ἀξίωμα, ἦσαν ὅμως ἱκανώτεροι τῶν ἄλλων εἰς τὸν περὶ πίστεως λόγον. Ἦτον λοιπὸν μὲ τούτους καὶ ὁ μέγας Σπυρίδων· τοῦ ὁποίου ἡ ἀρετὴ καὶ ἡ συνοικοῦσα αὐτῷ θεία χάρις ἦτον περισσότερον ὠφέλιμος εἰς πειθώ, παρὰ αἱ γλῶσσαι τῶν ἄλλων, αἱ ἄφευκτοι τῶν συλλογισμῶν λαβαί, καὶ αἱ κομψαὶ τῶν λόγων περίοδοι. Καθὼς λοιπὸν οὗτος ἦτον παρών· διότι ἐδῶ εἶναι τὸ ἥδιστον τοῦ πράγματος· παρευρίσκοντο δὲ εἰς τὴν Σύνοδον καὶ φιλόσοφοι, μὲ τὴν ἄδειαν τοῦ βασιλέως, ἔχοντες τὴν περιπατητικὴν ἀλαζονείαν, καὶ πολλὰ πεπαιδευμένοι τὴν σοφιστικὴν ψυχαγωγίαν· εἷς δὲ τούτων ἦτον ἱκανώτατος εἰς τὸ λέγειν, ἐπειδὴ εἶχεν ἄμαχον δύναμιν εἰς κατάπεισιν, καὶ διὰ τὴν εὐγλωττίαν αὐτοῦ, ἐφημίζετο παρὰ πάντων· οὗτος συνδιαλεχθεὶς μὲ τοὺς ἐπισκόπους, ἐβοήθη ἰσχυρῶς τὸν Ἄρειον, καὶ συνηγορῶν σοφῶς ἐναντιόνετο εἰς τοὺς συλλογισμοὺς αὐτῶν. Πολλοὶ δὲ συνεπισύροντο εἰς ἀκρόασιν, ἐπιθυμοῦντες νὰ μάθωσιν ποῖοι τῶν ἀντιλεγόντων θέλουσι νικήσει· διότι δὲν ἦτον κἀνὲν δύσκολον πρὸς λύσιν ἐπιχείρημα τῶν ὀρθοδόξων, τὸ ὁποῖον ἐκεῖνος δὲν ἔλυε μὲ τὴν πολλὴν αὐτοῦ μάθησιν· καὶ ἐνῷ πολλάκις κατήντει εἰς στενὸν ἡ ἀπολογία, αὐτὸς ἐξέφευγε μὲ τὰ καταπειστικὰ στρατηγήματα καὶ τὰς σοφιστικὰς αὐτοῦ ἀπάτας. Ἦτον λοιπὸν ἀμίλλα ἀληθείας καὶ τέχνης· καὶ οἱ μὲν τ' ἀληθῆ λέγοντες, προσέβαλλον τὸν σοφιστὴν μὲ ἀῤῥαδιούργητα νοήματα· ὁ δὲ, ὡς ὅπλα προβαλλόμενος τὸ ποικίλον καὶ παραλογιστικὸν καὶ κακότεχνον τοῦ λόγου, ἐνόμιζε μὲ τοῦτο μᾶλλον νὰ νικήσῃ. Ἀλλὰ διὰ νὰ μὴ γίνῃ ἡ νίκη διὰ τῶν λόγων, ἀλλὰ διὰ τῆς ἀληθείας καὶ τοῦ Χριστοῦ, παρέβλεψεν ὅλους τοὺς λογίους πατέρας, ἔλαβε δὲ ταύτην ὁ ἁπλοῦς Σπυρίδων, ὃς τις δὲν ἤξευρεν ἄλλο τί περισσότερον, εἰμὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον, καθὼς λέγει ὁ Παῦλος. Ὅτε λοιπὸν εἶδε τὸν φιλόσοφον θερμαινόμενον εἰς τὰ σοφίσματά του, καὶ κινοῦντα κατὰ τοῦ Χριστοῦ φιλολοίδορον γλῶσσαν, προσπαθοῦντα δὲ νὰ διαχλευάζῃ τὰ τῶν ὀρθοδόξων, πλησιάσας, ἐζήτει μικρόν τι νὰ συνομιλήσῃ μὲ αὐτόν. Οἱ δὲ εὐσεβεῖς, γινώσκοντες τὴν ἁπλότητα καὶ τὸ ἀρχαϊκὸν αὐτοῦ, προσέτι δὲ τὴν παντελῆ ἀμάθειαν τῆς Ἑλληνικῆς παιδείας ἐμπόδιζον αὐτὸν νὰ παῤῥησιασθῇ εἰς τὸ μέσον, καὶ νὰ πολεμήσῃ μὲ τὸν φιλόσοφον. Ὁ Σπυρίδων ὅμως δὲν ὑπήκουσεν ἐκείνους· διότι ἤξευρε πόσον μὲν δύναται ἡ ἄνωθεν τοῦ Θεοῦ σοφία, τί δὲ ἡ ἀνθρώπινος καὶ καταργουμένη. Πλησιάσας λοιπὸν εἰς τὸν ἄνδρα, εἶπεν. Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ὦ φιλόσοφε, πρόσεξε τώρα καὶ εἰς ἐμὲ, καὶ δὸς ἀκρόασιν εἰς τοὺς λόγους μου. Ὁ δὲ εἶπε: Σὺ μὲν ὁμίλησον, ἐγὼ δὲ θέλω ἀκροασθῆ. «Εἷς εἶναι, εἶπεν ὁ Σπυρίδων, ὁ Θεὸς,

»οὐρανοῦ τε καὶ γῆς, καὶ τῶν ἄλλων πάντων τῶν ἐν τῷ μέσῳ δημιουρ-
»γός· οὗτος παρήγαγε τὰς οὐρανίους δυνάμεις· οὗτος διέπλασεν ἐκ τῆς
»γῆς τὸν ἄνθρωπον, καὶ ἐποίησε πάντα ὁμοῦ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα·
»διὰ τοῦ λόγου καὶ τοῦ πνεύματος αὐτοῦ παρήχθη μὲν ὁ οὐρανός,
»παρήχθη δὲ ἡ γῆ, ἀνεχέθη ἡ θάλασσα, ἐτάθη ὁ ἀήρ, ἐγεννήθησαν τὰ
»ζῶα, διεπλάσθη ὁ ἄνθρωπος, τὸ μέγα τοῦτο ζῶον καὶ θαυμαστὸν δη-
»μιούργημα· ὅλα ἔγειναν, ἀστέρες, φωστῆρες, ἡμέρα, νὺξ, καὶ πάντα
»τὰ λοιπά. Τοῦτον λοιπὸν τὸν λόγον, γινώσκοντες ἡμεῖς ὅτι εἶναι υἱὸς
»Θεοῦ, καὶ Θεὸς, πιστεύομεν ὅτι ἐγεννήθη δι' ἡμᾶς ἐκ Παρθένου, καὶ
»ἐσταυρώθη καὶ τέλος ἐτάφη· ἔπειτα δὲ καὶ ἀνέστη καὶ συνήγειρεν ἡμᾶς,
»προξενήσας ἡμῶν ἄφθαρτον καὶ αἰώνιον ζωήν. Τοῦτον λέγομεν ὅτι θέλει
»ἔλθει πάλιν κριτὴς πάντων, καὶ ἐξεταστὴς ἀπαραλόγιστος τῶν ἡμε-
»τέρων ἔργων, καὶ λόγων καὶ λογισμῶν. Τοῦτον πιστεύομεν ὁμοούσιον,
»τοῦτον σύνθρονον, τοῦτον ὁμότιμον μὲ τὸν Πατέρα.» Δὲν φαίνονται
λοιπὸν καὶ εἰς σὲ, ὦ φιλόσοφε, ταῦτα; οὕτως μὲν εἶπεν ὁ Σπυρίδων·
(Δὲν φαίνεται δὲ ἀπὸ σκοποῦ νὰ γείνῃ ἐνταῦθα μνεία τις τοῦ ἀναφερο-
μένου θαύματος τῆς κεραμίδος· ὅτι δηλαδὴ ὁ Ἅγιος μετὰ τὰ ῥηθέντα,
λαβὼν εἰς τὴν ἀριστερὰν αὐτοῦ κεραμίδα, ἔσφιγξεν αὐτὴν καὶ, ὢ τοῦ
θαύματος! εὐθὺς ἀνέβη τὸ πῦρ εἰς τὸν ἀέρα, τὸ ὕδωρ ἐχύθη εἰς τὴν
γῆν, ὁ δὲ πηλὸς ἔμεινεν εἰς τὰς χεῖρας αὐτοῦ· καὶ οὕτως εἱ μὲν ὁρῶντες
ἐξέστησαν) (α)· ὁ δὲ φιλόσοφος, ὡς νὰ μὴν εἶχε τὴν αὐτὴν καὶ προτοῦ
ψυχὴν, οὐδὲ τὴν αὐτὴν φρένα καὶ γλῶσσαν, οὕτω εὐκόλως ἀντιτατ-
τομένην καὶ ἀντιλέγουσαν, ἐπλήγη μὲν τὴν ἀκοὴν, ἐξεπλάγη δὲ τὴν ψυ-
χὴν καὶ ἡ φωνὴ αὐτοῦ ἐσβέσθη· καὶ ἀποσιωπήσας ὥραν πολλὴν, οὐδὲν
ἄλλο ἐδυνήθη νὰ ἀποκριθῇ, παρ' ὅτι καὶ εἰς ἐμὲ φαίνεται ὅτι ταῦτα
οὕτως ἔχουν. Ὁ δὲ Ἅγιος λέγει πρὸς αὐτὸν· Ἐλθὲ λοιπὸν, ἐπειδὴ καὶ
ταῦτα μοὶ συνομολογεῖς, χωρὶς νὰ διαφωνῇς μὲ τὰ ἔργα· ἀλλὰ γνω-
ρίσας ποῖός τις εἶναι ὁ Θεὸς, ὅς τις ἐποίησε τὰ πάντα, ἀναστὰς
πρόσελθε εἰς τὴν ἐκκλησίαν, καὶ τὸ σημεῖον τῆς ὀρθοδόξου πίστεως
λάμβανε. Ταῦτα ἀφοῦ ἤκουσεν ὁ φιλόσοφος, εὐθὺς μὲν μετετράπη εἰς
ἀκριβῆ θεοσέβειαν. Ἐπιστραφεὶς δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ τοὺς
ἄλλους τῶν λεγομένων ἀκροατὰς, εἶπεν· ἕως τώρα μὲν ὦ ἄνδρες, ὁ
ἀγὼν ἦτον εἰς λόγους, καὶ ἐγὼ ἐναντιονόμην μὲ τὴν τέχνην· ἀλλ' ἀφοῦ
θεία τις δύναμις ἐναντία ἐπέδειξεν εἰς τὴν ἁπλότητα τῶν λόγων ἀῤῥη-
τόν τινα καὶ ἀκατανόητον ἰσχὺν, δὲν ἐντρέπομαι νὰ ὁμολογήσω ὅτι
ἐνικήθην· εὐχαρίστως δὲ ἤθελα συμβουλεύσει καὶ ἐμαυτὸν καὶ τοὺς ἄλ-

(α) Ὅρα Ἱερὰν Κατήχ. Ν. Βουλγάρεως περὶ Συνόδ. σελ. 121, καὶ Παράδοσιν Ἁγιορείτου Βίου Ἁγ. Σπυρίδ. σελ. 289.

λους, ἐὰν τις δὲν εἶναι τόσον ἀπαίσιος, ἢ δὲν θέλει περὶ τὴν ἀλήθειαν
νὰ κακουργῇ, νὰ πιστεύωσιν εἰς τὸν Χριστὸν, καὶ νὰ ἀκολουθήσωσι τοῦ
Ἁγίου τούτου γέροντος, τοῦ ὁποίου ἡ μὲν γλῶσσα ἐξάπαντος εἶναι
ἀνθρώπινος, οἱ δὲ λόγοι τοῦ Θεοῦ. Πόσην αἰσχύνην νομίζετε ὅτι ἐπρο-
